22a. [+] *δεῖ διαστήματος ὀλίγου, εἶτα ἀνακραγεῖν ὡς θεασάμενον τὸν πυρσόν. τὸ δὲ νυκτὸς ἀντὶ τοῦ ἐκ νυκτὸς ἡμέραν ἡμῖν διδούς.* F
22b. *δεῖ διαστήματος ὀλίγου, εἶτα ἀνακραγεῖν ὡς θεασάμενον τὸν πυρσόν.* M
22c. ⟨*νυκτὸς ἡμερήσιον*⟩] *ἐκ νυκτὸς ἡμέραν ἡμῖν διδούς.* M
26. *τορῶς*] *μεγαλοφώνως.* M
27a. ⟨*ἐπαντείλασαν*⟩] *ὡς ἐπὶ ἄστρου ἢ σελήνης.* M
27b. *ἐπαντείλασαν*] *ἐγερθεῖσαν.* F
28. *ὀλολυγμὸν*] *εὐχὴν παρὰ τοῖς παλαιοῖς.* F
30a. *πρέπει*] *διαπρεπῶς σημαίνει.* M
30b. *πρέπει*] *διαπρεπής ἐστιν.* F
31. *φροίμιον*] *πρὸ τῆς Κλυταιμήστρας.* MF
32. *θήσομαι*] *οἰκειώσομαι.* MF
33a. ⟨*τρὶς ἕξ*⟩] *καὶ παροιμ(ία)· ἀεὶ γὰρ εὖ πίπτουσιν οἱ Διὸς κύβοι.* M
33b. *παροιμία τὸ τρὶς ἓξ βάλλειν ἐπὶ τῶν ἄκρως εὐτυχούντων.* F
36—37. ⟨*βοῦς ἐπὶ γλώσσηι*⟩] *ἢ βάρος ἐπίκειται ἢ φοβοῦμαι ζημίαν ἐπικεισομένην μοι.* M
36. *βοῦς*] *παροιμ(ία) ἐστὶν ἐπὶ τῶν ἀλάλων ἢ ἀντὶ τοῦ βάρος ἐπίκειται ἢ φοβοῦμαι ζημίαν ἐπικεισομένην μοι.* F

20 cf. Pfeiffer ad sch. Call. IV 258, sch. A A. Sept. 268 p. 331, 17 Dd. || **25—26** Soph. fr. 895 (= sch. Eur. Or. 603) cf. Erbse ad Paus. att. fr. *α* 28 || **27** cf. Erbse ad Paus. att. fr. *τ* 46 || **30** cf. Erbse ad Paus. att. fr. *β* 19

4 *ἀλύω* Pauw *ἀλύων* M || **6—7** sch. 16a et 16b separ. Smith cont. ad *μινύρεσθαι* F cf. Class. et Med. 30, 44 || **16** *διδούς* Vict. coll. sch. 22a *δοῦσιν* M || **20** *παρὰ* van Heusde *περὶ* F || **25** cf. test. || **27** cf. test.

39. *μαθοῦσιν αὐδῶ*] *τὴν μοιχ(είαν) τῆς Κλυταιμήστρας.* F
40. *ἐπεὶ*] *ἀφ' οὗ.* F
41. *ἀντίδικος*] *ἀντὶ τοῦ ἐχθρὸς ἀπὸ τῶν ἐν ταῖς δίκαις ἐχθρῶν.* M
48a. ⟨*ἐκ θυμοῦ κλάζοντες*⟩] *οὐ γὰρ γλώσσηι, ἀλλ' ἔργωι θυμούμενοι.* M
5 **48b.** *κλάγξαντες*] *βοήσαντες.* F
48c. *Ἄρη*] *Ἀττικῶς· κοινῶς δὲ Ἄρην.* F
50—54. ⟨*οἵτ' ... ὀλέσαντες*⟩] *οἵτινες ὕπατοι ὄντες ὀλέσαντες δὲ τὸν πόνον τῶν ὀρταλίχων τῶν ἐν τοῖς δεμνίοις τηρουμένων ἐπὶ τῶν λεχέων στροφοδινοῦνται.* M
10 **50a.** *ἐκπατίοις*] *τοῖς ἔξω τῆς ὁδοῦ.* M
50b. *ἐκπατίοις*] *ἐκπατίοις λεχέων ἀντὶ τοῦ ἔξω τῆς αὐτῶν οἰκίας.* F
50c. *παίδων*] [*αἰχμαλώτων*] F
52. *ἐρεσσόμενοι*] *ἀντὶ τοῦ πετόμενοι.* F
54a. *ὀρταλίχων*] *τῶν μηδέπω πετομένων νεοττῶν.* M
15 **54b.** *ὀρταλίχων*] [*τῶν αἰχμαλώτων*]. F
56. *Πὰν*] *ὁ ὄρειος.* MF
57a. ⟨*τῶνδε μετοίκων*⟩] *ὑπὲρ τῶν μετοικισθέντων νεοσσῶν.* M
57c. *ὑπὲρ τῶν μετοικισθέντων νεοσσῶν πέμπει τοῖς παραβᾶσι καὶ μετοικίσασιν αὐτοὺς ὕστερον τιμωρίαν.* F
20 **57d.** ⟨*μετοίκων*⟩] *τῶν αἰχμαλώτων.* F
59. ⟨*παραβᾶσιν*⟩] *τοῖς παραβήσασι καὶ μετοικίσασιν αὐτούς.* M
62. ⟨*πολυάνορος*⟩] *πολλοὺς μνηστῆρας ἐσχηκυίας.* M
63. ⟨*γυιοβαρῆ*⟩] *βαρέα καὶ μὴ ἐῶντα ἀνανεῦσαι τοὺς πίπτοντας.* M
65a. ⟨*διακναιομένης*⟩] *διακναιούσης.* M
25 **65b.** ⟨*προτελείοις*⟩] *κυρίως ταῖς πρὸ γάμου θυσίαις, νῦν δὲ ταῖς πρὸ τῆς ἁλώσεως μάχαις.* M
65c. *προτελείοις*] *πρὸ τῆς ἁλώσεως.* F
66. *κάμακος*] *δόρατος.* F

sch. 53–54 Hesych. *δεμνιοτήρη πόνον· Αἰσχύλος Ἀγαμέμνονι. καθόσον οἱ νεοσσοὶ ἔτι τοιοῦτοί εἰσιν ὡς τὰ δέμνια τηρεῖν καὶ κατέχειν μηδέπω πέτεσθαι δυνάμενοι· πόνον δὲ τὰ περὶ τὴν τροφὴν αὐτῶν* || **sch. 57b** sch. Soph. O. C. 934 *μέτοικος ... ἀντὶ ἔνοικος ... κέχρηται δὲ καὶ Αἰσχύλος ἐπὶ τῶν οἰωνῶν ἐν Ἀγαμέμνονι λέγων οὕτω· τῶνδε μετοίκων ἀντὶ ἐνοίκων. μετοίκους γὰρ εἶπε τῶν ὑψηλῶν τόπων τοὺς οἰωνοὺς κἀκεῖσε ἀντὶ ἐνοίκων.* || **25** sch. Ar. Th. 973 cf. Erbse ad Paus. att. fr. π 33 (= Eust. 881, 31)

8 *τῶν ... τηρουμένων* Friis Johansen *τὸν ... τηρούμενον* **M** cf. sch. T 50a || **12** del. Th. cf. ad sch. 57d || **13** huc trax. Smith ad *ἐρετμοῖσιν* **F** || **15** del. Th. cf. ad sch. 57d || **20** huc trax. Th. ad 50 et 54 bis adscr. **F** || **21** *μετοικίσασιν* Vict. coll. sch. 57c *μετοικήσασιν* **M**

67. ⟨*ἔστι δ’*⟩] *καὶ τὸ μὲν ὥς κε πέλει, τὼς ἔσται.* M
69. ⟨*ὑποκλαίων*⟩] *λείπει τὸ τίς.* M
70. ⟨*ἀπύρων ἱερῶν*⟩] *τῶν θυσιῶν τῶν Μοιρῶν καὶ τῶν Ἐρινύων ἃ καὶ νηφάλια καλεῖται.* M
72a. *ἀτίται*] *βλάβην ἔχοντες ἀπὸ τοῦ γήρως.* F 5
72b. *παλαιᾶι*] *γήραι.* F
78. ⟨*χώραι*⟩] *τῶι τόπωι ἐκείνωι.* M
79. *φυλλάδος*] *κόμης.* F
80. *κατακαρφομένης*] *ξηρανθείσης.* F
82a. *ἡμερόφαντον*] *ὡσανεὶ ὄναρ ὁ γέρων.* F 10
82b. ⟨*ἀλαίνει*⟩] *ἀλᾶται.* M
85. ⟨*τί χρέος*⟩] *διὰ τί;* M
87a. *ἤγουν δι’ ἐπιστολῆς θυσίαν πέμπεις.* F
91a. *δώροις*] *θυσίαις.* F
91b. *φλέγονται*] *λάμπουσι.* F 15
94a. *φαρμασσομένη*] *βαπτομένη.* F
94b. *χρίματος*] *τοῦ ἐλαίου.* MF
96a. *πελάνωι*] *σκοτεινῶι.* F
96b. ⟨*μυχόθεν*⟩] *λείπει κομιζομένωι.* M
99. *παιών*] *θεραπευτής.* F 20
100. *τοτὲ μὲν*] *ἔσθ’ ὅτε μέν.* M
101. *ἀγανὰ*] *πραέα.* F
102a. *ἀμύνει*] *ἀποσοβεῖ.* F
102b. ⟨*τὴν θυμοβόρον*⟩] *ἥτις ἐστὶ θυμοβόρος λύπη τῆς φρενός.* M
104a. *κύριος*] *δυνατός εἰμι εἰπεῖν τὸ συμβὰν αὐτοῖς σημεῖον ἐξιοῦσιν.* M 25
104b. *κύριος*] *δυνατός εἰμι εἰπεῖν τὸ συμβὰν αὐτοῖς σημεῖον ἐξιοῦσι. τὸ δὲ ὅδιον ἀντὶ τοῦ ἐνδοξότατον.* F
104c. *ὅδιον*] *τὸ ἐν τῆι ὁδῶι ὀφθέν.* MF
105—110. ⟨*ἔτι γὰρ*⟩] *πείθει γάρ με ἡ παρὰ θεῶν πίστις μέλπειν καὶ λέγειν ὅτι εὖ πράξουσιν οἱ Ἀτρεῖδαι ὅσον ἀπὸ τοῦ σημείου.* M 30

3—4 sch. S. O. C. 100 cf. Adler ad Suda *νηφάλιος θυσία* ‖ **sch. 87b** Hesych. *θυοσκεῖν· ἱερὰ παρέχεσθαι τοῖς θεοῖς* (corr. Blomf. *ἱεροῖς παρέχεσθαι ἢ θεοῖς* cod.)

1 A. R. II 345 ubi *καὶ τὰ μὲν ὥς κε πέληι τῶς ἔσσεται* habent codd. Apollonii ‖ 6 *γήραι* F[ac] *γήρει* F[pc] ‖ 19 *κομιζομένωι* Stanley *κομιζομένων* M ‖ 26 *ἐξιοῦσιν* van Heusde coll. M *ἀξιοῦσι* F ‖ 27 *δῖον* Th. cf. Class. Quart. 17, 1968, 238 sq. ‖ 29 *πίστις*] *πειθὼ* Hdl.

105—107. ⟨*ἔτι γὰρ*⟩] *ὁ γὰρ σύμφυτός μοι αἰών, ὅ ἐστι τὸ γῆρας, διὰ τὴν εἰς θεοὺς πειθὼ μολπήν μοι καὶ ἀλκὴν καταπνεῖ· ὅ ἐστιν εἰ καὶ γέρων εἰμὶ ὅμως μέλψω τὰ γεγονότα· πέποιθα γὰρ ὅτι εἰς πέρας αὐτὰ ἄξουσιν οἱ θεοί.* M

5 **109—110.** ⟨*Ἀχαιῶν ... τὰν γᾶν*⟩] *τοὺς κρατοῦντας τὴν Ἑλληνικὴν ἥβην* [*καὶ*] *τὴν ὁμόφρονα περὶ τὰ τακτικά. λέγει δὲ τοὺς Ἀτρείδας.* M

111. *πράκτορι*] *τῶι δίκην εἰσπραξομένωι.* M

115a. ⟨*ὅ τ᾽ ἐξόπιν*⟩] *ὁ ἐξοπίσω λευκός, ὅ ἐστιν ὁ πύγαργος.* M

115b. *ἀργίας*] *εἶδος ἀετοῦ.* F

10 **116.** *ἴκταρ*] *ἐγγύς.* F

117. ⟨*ἐκ δοριπάλτου*⟩] *ἐκ δεξιᾶς, ὅ ἐστιν εὐσυμβόλως.* M

118. *ἕδραισιν*] *τοῖς βασιλείοις.* MF

119a. *λαγίναν γένναν· τὸν λαγωόν.* M

119b. ⟨*ἐρικύμονα*⟩] *πολυκύμονα.* M

15 **119c.** *ἐρικύμονα*] *πολύτοκον.* F

119d. *γένναν*] *τὴν τῶν λαγωῶν γένναν λέγει.* F

120. ⟨*βλαβέντα*⟩] *πρὸς τὸ σημαινόμενον τὸ βλαβέντα.* M

121. ⟨*αἴλινον ... εἰπέ*⟩] *ἐπειδὴ ὁ αἴλινος καὶ ἐπὶ θρήνου λέγεται, φησὶν ὅτι ἐν τάξει ὕμνου αὐτὸν λέγε.* M

20 **122a.** *στρατόμαντις*] *ὁ Κάλχας.* F

122b. *λήμμασι*] *κρατήμασι.* F

123. *ἐδάη*] *ἤγουν εἰκόνισεν εἶναι τοὺς δύο ἀετοὺς τοὺς δύο Ἀτρείδας.* F

124. *λαγοδαίτας*] *ἀετούς.* F

125a. *τεράιζων· τὰ τέρατα διηγούμενος.* M

25 **125b.** *τεράιζων*] *τὸ τέρας ἑρμηνεύων.* F

129a. *κτήνη· κτήματα.* M

129b. *δημιοπληθῆ*] *δημόσια.* F

131—134. ⟨*οἷον ... στρατωθέν*⟩] *μόνον μὴ προτυπὲν ὑπὸ θεῶν τὸ στρατωθὲν τῆς Τροίας στόμιον, ὅ ἐστι τὸ ἐπὶ* [*βλάβηι*] *Τροίας στρα-*
30 *τευθέν, ἄτηι σκοτίσηι.* M

8 sch. Lycophr. 91 sch. Hom. B *Ω* 315 E. M. 695, 48 || 10 Thom. Mag. 188, 3 *ἴκταρ· ἀντὶ τοῦ ἐγγύς. Αἰσχύλος· ἴκταρ μελάθρων* cf. sch. Eum. 998 Hesych. *ἴκταρ* Phot. sch. Plat. Rep. 575C sch. Luc. 202, 1 Et. Gen. A *ἴκταρ* E. M. 470, 90 Erot. 46, 19 Galen. XIX, 105 Moer. *ἴκταρ* Tim. Lex. Plat. 149 Lex. Vind. *ἴκταρ* || 18 cf. Schwartz ad sch. Eur. Or. 1396

2 *πειθὼ*] *πίστιν* Hdl. || 6 del. Smith || 12 *ἤτοις τοῖς* F || 13 *λαγωόν* Rob. *λαγωιόν* M || 16 *γένναν* van Heusde *γέναν* F || 29 del. Smith; est glossa ad *ἄτα* u. 131. cf. Class. et Med. 30, 45

131. *⟨ἄτα⟩] βλάβη.* M
135. *στρατωθέν] στρατῶι κυκλωθέν.* F
135—138. *⟨οἴκωι ... ἀετῶν⟩] τῶι γὰρ οἴκωι τῶν κυνῶν Διός, ὅ ἐστι τῶν ἀετῶν, ὀργίζεται Ἄρτεμις διὰ τὸ κύοντα τὸν λαγὼν ἀποκτεῖναι· λοχία γάρ ἐστιν ἡ θεός.* M
137. *αὐτότοκον] σὺν αὐτῶι τῶι τόκωι.* M
138. *πτάκα· τὸν λαγωόν.* M
141. *δρόσοις] τοῖς νεογνοῖς· χωρὶς δ' αὖτ' ἔρσαι· ἀέπτοις δὲ τοῖς ἕπεσθαι τοῖς γονεῦσι ⟨μὴ⟩ δυναμένοις.* M
144. *⟨τούτων⟩] τὰ σύμβολα αἰτεῖ με φάναι τούτων δεξιὰ μὲν διὰ τὴν νίκην, ἐπίμομφα δὲ διὰ τὸν χόλον Ἀρτέμιδος.* M
145. *στρουθῶν] τῶν ἀετῶν.* M
146. *⟨Παιᾶνα⟩] ὡς μάντις.* M
151. *⟨τεύξηι⟩] ὦ Ἄρτεμι.* M
152 a. *ἄδαιτον] ἣν οὐδεὶς ἔδαισεν.* M
152 c. *σύμφυτον] συγγενικήν.* M
154 a. *δεισήνορα] οὐ φοβουμένην τὸν ἄνδρα ἢ τὴν οὐ δείσασαν τὸν ἄνδρα.* MF
154 b. *παλίνορτος] ἡ ἐξ ὑστέρου ὁρμωμένη.* M
156. *⟨ἀγαθοῖς⟩] διὰ τὴν νίκην.* M
158. *ὁμόφωνον] ὁμοφώνως.* M
160. *Ζεὺς ὅστις· διάφορος γάρ ἐστιν ἡ περὶ τοῦ θείου δόξα.* M
165. *⟨εἰ τόδε μάταν⟩] εἰ τὸ τῆς ματαιότητος ⟨ἄχθος⟩ ὀφείλει τις ἀποσείσασθαι τῆς γνώμης, Δία νομιζέτω.* M
169. *⟨βρύων⟩] διὰ τοὺς Τιτᾶνας.* M
171 a. *⟨ὃς δ'⟩] ὁ Τυφῶς.* M

8 Et. Gen. B *ἔρση γάρ ἐστιν ἡ δρόσος· καὶ Αἰσχύλος ἐν Ἀγαμέμνονι τοὺς σκύμνους (τοὺς σκύλλους* cod.) *τῶν λεόντων δρόσους κέκληκεν μεταφράζων* (= E. M. 377, 39) cf. Ariston. *ι* 222 (= Et. Gen. B = E. M. 377, 37) Ar. Byz. ap. Eust. 1625, 30 cf. Ar. Byz. p. 105 sqq. || 8—9 sch. D Hom. *A* 567 Eust. 150, 18 An. Par. IV 84, 23 || **sch. 143** Hesych. *ὀβρικάλοις· τοῖς τῶν θηρίων ἐκγόνοις* cf. ad sch. T Ag. 143 a || **sch. 152 b** Hesych. *ἄδαιτον· †ἄδην† ⟨καὶ ἀπόρρητον⟩* add. Schmidt fort. schol. ad loc.

1 huc trax. Smith glossam sch. 131—134 insertam || 4 *διὰ* Pauw *δὲ* **M** || 5 *λοχία* Dd. *λοχεία* **M** || 8 Hom. *ι* 222 | *αὐτέρσαι* **M** | *ἀέπτοις* Vict. *ἀέλπτοις* **M** || 9 add. **Mi** || 10 huc trax. Vict. ad 143 adscr. **M** || 17—18 *ἢ ... ἄνδρα* om. **F** || 17 *δείσασαν* **Mi** *δήσασαν* **M** || 23 add. Paley || 25 huc trax. Paley ad 168 adscr. **M** || 26 huc trax. Smith coll. sch. T 171 a ad 169 adscr. **M**

171b. *τριακτῆρος· νικητοῦ ἐκ μεταφορᾶς τῶν ἐν τοῖς πεντάθλοις ἀποτριαδιζόντων.* M
174. *⟨ἐπινίκια⟩] ἐπὶ ἐλπίδι νίκης.* M
175. *⟨τὸ πᾶν⟩] ὁλοσχερῶς φρόνιμος ἔσται.* M
5 **177a.** *⟨πάθει μάθος⟩] παθὼν δέ τε νήπιος ἔγνω.* M
177b. *⟨πάθει⟩] τῶι παθόντι.* M
179. *⟨στάζει⟩] τῶι ἁμαρτάνοντι τοῦτο συμβαίνει.* M
183. *σέλμα] τὸν ζυγόν· ὑψίζυγος γὰρ ὁ Ζεύς.* M
184. *⟨ὁ πρέσβυς⟩] μείζων γὰρ Μενελάου.* M
10 **186.** *⟨οὔτινα⟩] περισσεύει τὸ τινά.* M
187a. *⟨ἐμπαίοις⟩] ἐμπαισάσαις.* M
187b. *συμπνέων] συμφωνῶν.* M
188. *⟨κεναγγεῖ⟩] νηῶν ἐξέφθιτο ἤια πάντα.* M
190. *⟨ἔχων⟩] ἀντὶ τοῦ ἐχόμενος.* M
15 **193.** *⟨κακόσχολοι⟩] ἐπὶ κακῶι ποιοῦσαι σχολάζειν.* M
194. *⟨ἄλαι⟩] καὶ δὴ ἄγρην ἐφέπεσκον ἀλητεύοντες.* M
195. *⟨ναῶν ... ἀφειδεῖς⟩] καὶ δὴ δοῦρα. σέσηπε νεῶν.* M
197. *τρίβωι] διατριβῆι.* M
200. *⟨βριθύτερον⟩] ἐπαχθέστερον.* M
20 **205.** *⟨ἄναξ δ'⟩] τὸ ἑξῆς· ἐπεὶ δὲ πικροῦ, ἄναξ ὁ πρέσβυς τόδ' εἶπεν.* M
206. *⟨κὴρ⟩] τιμωρία.* M
208. *⟨τέκνον⟩] πλείων οἶκτος ⟨***⟩ διὰ τὸ τέκνον.* M
215. *ὀργᾶι] τῶι τρόπωι· γρ(άφεται) αὐδᾶι, ὁ μάντις δηλονότι.* M
216. *περιόργως] ἐπιθυμητικῶς.* MF
25 **217.** *εὖ γὰρ εἴη] καλῶς ἀποβαίη.* M
218. *⟨ἔδυ⟩] ἀντὶ τοῦ ἠναγκάσθη [τὸ] ποιεῖν.* M
219. *τροπαίαν] μεταβολήν.* M
220—221. *⟨τόθεν ... μετέγνω⟩] ὅθεν ἔγνω πάντα τοὺς ἀνθρώπους τολμᾶν, ἀπὸ τῆς ἀνάγκης δηλονότι.* M
30 **222.** *αἰσχρόμητις] αἰσχρὰ ποιεῖν ἀναγκάζουσα.* M
223. *⟨παρακοπὰ⟩] τοῦ νοῦ παρακοπή· πρωτοπήμων δὲ ἡ μείζων τῶν ἄλλων πημάτων.* M

1—2 cf. ad sch. Ch. 339

2 *ἀποτριαζόντων* Spanheim || **5** Hes. Op. 218 || **8** cf. Hom. *Δ* 166 || **10** *τινά* Hdl. *πνεῦμα* M || **11** *ἐμπαισάσαις* Dd. *ἐμπεσάσαις* M || **13** Hom. *μ* 329 || **16** Hom. *μ* 330 || **17** Hom. *B* 135 || **22** *πλείων* Mi *πλεῖον* M | lac. indic. Smith. uerbum desideratur || **23** *γρ(άφεται)* Orelli *γὰρ* M || **26** del. Mi *τοῦτο* Kueck

228—230. ⟨*λιτὰς … βραβῆς*⟩] *καὶ τὰς λιτὰς δέ, ἃς ἐποιεῖτο πρὸς τὸν πατέρα, παρ' οὐδὲν ἡγήσαντο ⟨διὰ⟩ τὴν ζωὴν αὐτῆς.* M
233. ⟨*περιπετῆ*⟩] *περιεσκεπασμένην.* M
234a. ⟨*προνωπῆ*⟩) *προνενευκυῖαν.* M
234b. *ἀέρδην*] *βαστακτικῶς.* M 5
235. *καλλιπρώιρου*] *εὐμόρφου.* M
238. ⟨*βίαι*⟩] *τῆι βίαι καὶ τῶι ἀναύδωι μένει τῶν χαλινῶν τῶν μὴ ἐώντων αὐτὴν λαλεῖν.* M
242. ⟨*ἐν γραφαῖς*⟩] *διὰ τὸ κάλλος ἢ διὰ τὸ ἀφωνητεῖν.* M
244a. ⟨*ἀταύρωτος*⟩] *ἄζευκτος, παρθενική.* M 10
246. ⟨*εὔποτμον*⟩] *ζηλωτὸν ἐποίει δι' ἑαυτὴν τὸν πατέρα.* M
248. ⟨*οὔτ' ἐννέπω*⟩] *διὰ τὸ ἀπάνθρωπον εἶναι τὴν σφαγήν.* M
250—252. ⟨*τοῖς μὲν … τὸ μέλλον*⟩] *τοῖς μὲν πεπονθόσιν ἡ δίκη δίδωσι τὸ μαθεῖν· δίκην γὰρ δόντες μανθάνουσι τὸ μέλλον.* M
252. ⟨*προχαιρέτω*⟩] *σύναπτε τὸ π ρ ο χ α ι ρ έ τ ω εἰς τὸ π ρ ο κ λ ύ ε ι ν.* F 15
254a. *τορὸν*] *φανερόν.* M
254b. ⟨*τορὸν γὰρ ἥξει*⟩] *τὸ πεπρωμένον φανερὸν ἥξει.* M
255. ⟨*εὔπραξις*⟩] *εὐπραγία.* M
256. ⟨*ἄγχιστον*⟩] *τὸ συγγενικόν.* M
257. ⟨*μονόφρουρον*⟩] *ἐπειδὴ μόνοι γέροντες ἐφύλασσον τὴν Ἑλλάδα.* M 20
260. ⟨*ἐρημωθέντος*⟩] *παρόντος μέντοι οὐ δεῖ συντυγχάνειν αὐτῆι* ⟨***⟩. M
263. ⟨*φθόνος*⟩] *εἰ μὴ θέλεις εἰπεῖν, οὐ μεμψαίμην ἄν.* M
264. *ἡ παροιμία*] *ὁ παλαιὸς λόγος.* M
265. ⟨*γένοιτο*⟩] *γένοιτο καλὴ ⟨ἡ⟩ ἡμέρα ὥσπερ ἡ νύξ.* M 25
269. *ἦ*] *ὄντως.* F
273. ⟨*μὴ δολώσαντος θεοῦ*⟩] *εἰ μή τις θεός με ἀπατᾶι.* M
275. *βριζούσης*] *νυσταζούσης.* F
276a. *ἄπτερος*] *ἰσόπτερος, κούφη.* MF

sch. 229 Bekk. I 363, 17 *α ἰ ῶ τὸν αἰῶνα κατὰ ἀποκοπὴν Αἰσχύλος εἶπεν* Phot. Reitz. 56, 18 ‖ **sch. 234c** Hesych. *ἀ έ ρ δ η ν· ἄνω ἢ φοράδην* ‖ **sch. 244b** Hesych. *ἀ τ α ύ ρ ω τ ο ς· ἄζυγος καὶ παρθένος παρόσον ἐζεῦχθαι γάμοις αἱ γημάμεναι λέγονται* cf. Poll. II 173 ‖ **sch. 276b** Hesych. *ἄ π τ ε ρ ο ς· αἰφνίδιος. παρὰ Ὁμήρωι ὁ προσηνὴς ἢ ταχύς. Αἰσχύλος Ἀγαμέμνονι* cf. sch. Hom. *ρ* 57 Et. Gen. *ἄπτερος* E. M. 133, 27

1 *καὶ τὰς λιτὰς δέ, ἃς* Smith *κἂν διὰ τὰς λιτὰς δι' ἃς* **M** *κἂν διὰ τὰς λιτάς, ἃς* Vict. cf. Class. et Med. 30, 46 ‖ 2 add. Smith ‖ 15 hoc sch. fort. Triclinianum est ‖ 22 lac. indic. Smith post Heims. coll. sch. T 260a ‖ 25 add. Th. coll. sch. T 265b ‖ 27 *μή τις* Th. coll. sch. T 273c *μή πω* **M**

281. *Ἴδης*] *ὄρος*. F
283 a. ⟨*Ἴδη μὲν*⟩] *κοινὸν τὸ ἔπεμψεν*. M
283 b. *Ἑρμαῖον*] *ὄρος Λήμνου ἐν ὧι ἐτιμᾶτο ὁ Ἑρμῆς*. F
283 c. *Ἑρμαῖον*] *ὄρος Λήμνου*. M
5 **284.** *φανόν· τὴν λαμπάδα*. M
286 b. *νωτίσαι*] *ὑπερβῆναι*. M
287. *ἰσχύς· πυρός*. M
288. ⟨*πεύκη*⟩] *μεγίστη πεύκη*. M
289. *Μάκιστον· ὄρος Εὐβοίας*. MF
10 **290.** ⟨*ὁ δ'*⟩] *ὁ τόπος*. M
293 a. *Μεσσάπιον· ὄρος μεταξὺ Εὐβοίας καὶ Βοιωτίας*. M
293 b. *Μεσαπίου*] *ὄρος*. F
295. *θωμόν· σωρόν*. MF
301. ⟨*καίουσα*⟩] *ἡ τοῦ Κιθαιρῶνος*. M
15 **303.** *Αἰγίπλαγκτον*] *ὄρος Μεγαρίδος*. M
306 a. *Σαρωνικοῦ*] *κόλπος περὶ Τροιζῆνα*. M
306 b. *Σαρωνικοῦ*] *κόλπος*. F
307. ⟨*κάτοπτρον*⟩] *τὸ κατόψιον*. M
309. *Ἀραχναῖον*] *ὄρος Ἄργους*. MF
20 **311.** *οὐκ ἄπαππον*] *οὐ ξένον, ἀλλὰ συγγενές*. F
322. *ὄξος*] *λείπει τὸ ὡς*. F
361 a. *γάγγαμον*] *δίκτυον*. F
376. *φλεόντων*] *φλυαρούντων*. F
396. *πρόστριμμα*] *κακίαν*. F
25 **412.** *ἄτιμος*] *πολύτιμος*. F

sch. 282 Bekk. I 212, 7 *Αἰσχύλος γοῦν ἐν Ἀγαμέμνονι τὸν ἐκ διαδοχῆς πυρσὸν ἀπ' ἀγγάρου πυρὸς ἔφη* E. M. cod. Voss. gr. 20 *ἀγγάρους* cf. Phot. Reitz. 10, 21 Erbse ad Ael. D. fr. α 16 || **sch. 286 a** Hesych. *ὑπερτελής· ὑπὲρ τὸ τέλος ἀφικομένη* || **11** Steph. Byz. *Μεσσάπιον* || **19** Steph. Byz. *Ἀραχναῖον* Hesych. *Ὑσσέλινον* Paus. II 25, 10 || **22** Et. Gen. AB *γαγγαμών· σημαίνει δὲ τὸ δίκτυον. Αἰσχύλος· μήποτε—παναλώτου* (t. om. cod. B) E. M. 219, 17 ex Orione cf. Or. 44, 4 Hesych. *γάγγαμον* cf. sch. Ag. 361 b || **sch. 361 b** Poll. X 132 *γάγγαμον ἀφ' οὗ καὶ Αἰσχύλος τὸ δύσλυτον κακὸν ἢ δυσεξάλυκτον ἔφη γάγγαμον ἄτης παναλώτου*

2 huc trax. Fraenkel ad 291 adscr. **M** ad 289 trax. Dd. || **7—8** sch. 287 et 288 separ. Smith inu. ord. cont. **M** || **9** l. om. **F** || **11** *Μεσσάπιον* Dd. *Μέσσαπον* **M** cf. praef. p. XIII et Class. et Med. 30, 47 || **13** l. om. **F** | *θωμόν· σωρόν* M^{ac} *θωμός· σωρός* M^{pc}, in alt. marg. *θωμός· στρατός* M^{ac} *θωμόν· στρατόν* M^{pc} sed ab ipso correctore deletum || **16** *Τροιζῆνα* **Mc Mi** *Τροίζηνα* **M** || **20** uu. 311—1066 desunt in **M**

418. *ἀχηνίαις*] *ἀπορίαις.* F
478. *ψύθος*] *ψεῦδος.* F
492. *ἐφήλωσε*] *ἠπάτησε.* F
512. *παγώνιος*] *ἤγουν ἀπόμαχος.* F
513 a. *ἀγωνίους*] *τοὺς ἅμα ἐνὶ τόπωι ἱδρυμένους.* F 5
514. *τιμάορον*] *βοηθόν.* F
519. *ἀντήλιοι*] *οἱ εἰς ἀνατολὴν ὁρῶντες.* F
526. *μακέλληι*] *σπάθηι.* F
535. *τοῦ ῥυσίου*] *τοῦ ῥύσασθαι τοὺς Τρῶας.* F
536. *ἔθρισεν*] *ἐθέρισεν.* F 10
537. *θἀμάρτια*] *τὸν μισθὸν τῆς ἁμαρτίας.* F
556. *σπαρνὰς*] *σπανίους.* F
564. *ἄφερτον*] *βαρύν.* F
583. *οὐκ ἀναίνομαι*] *⟨ἀλλὰ⟩ χαίρω ἐν τῶι μὴ ἀντιλέγειν.* F
586. *πλουτίζειν*] *μεταδιδόναι μοι τῆς χαρᾶς.* F 15
641. *ἐξαγισθέντας*] *ἐξορισθέντας.* F
741. *ἀκασκαῖον*] *λίαν κεκοσμημένον.* F
916. *ἐναισίμως*] *προσηκόντως.* F
919. *ἅβρυνε*] *καλλώπιζε.* F
926. *ποδοψήστρων*] *δι' ὧν οἱ πόδες δηλονότι καλλωπίζονται.* F 20
1061. *καρβάνωι*] *βαρβάρωι.* F
1067. *⟨ἐξαφρίζεσθαι⟩*] *ἀπὸ τῶν στρηνιώντων ὑποζυγίων, ἃ οὐκ εἴκοντα τῶι χαλινῶι ἀφρίζει μετὰ αἵματος. ἢ ἐπεὶ αὕτη οὐ πείθεται πρὶν αἵματός μου τὴν ψυχὴν ἐξαφρίσαι, ἀντὶ τοῦ πρὶν ὀργισθῆναί με αὐτῆι.* M 25
1072. *δᾶ· γῆ Δωρικῶς ὅθεν καὶ Δημήτηρ οἷον γημήτηρ.* M
1076. *προαναφωνεῖ τὰ ἐσόμενα.* M
1081. *⟨ἀπόλλων⟩*] *ὁ ἀπολλύων με παρὰ τὴν ὁμωνυμίαν.* M

1 cf. ad sch. T Ag. 418 b || **sch. 448** Epim. Hom. 119, 13 *ἐν Ἀγαμέμνονι ἀλλοτρίας διαὶ γυναικὸς ἀντὶ τοῦ ἕνεκα* || **sch. 495** Hesych. *διψία κόνις· ξηρά* || 5 cf. Erbse ad sch. A Hom. *H* 298 a || **sch. 513 b** sch. BT Hom. *Ω* 1 *ἀγωνίους θεοὺς Αἰσχύλος τοὺς ἀγοραίους* Eust. 1335, 58 || **sch. 666** Hesych. *κραταίλεων· ἔδαφος ἐκ σκληροῦ λίθου γεγονός* || **sch. 780** Hesych. *παράσημον· ἀδόκιμον, κίβδηλον ἀπὸ τοῦ καὶ νομισμάτων τὰ κίβδηλα παράσημα λέγεσθαι* || **sch. 835** Hesych. *διπλοίζειν· διπλασιάζειν* || 26 sch. uet. A. Prom. 567 c Et. Gen. *ἄλεν ἃ δᾶ* E. M. 60, 8 || 28 cf. Plat. Crat. 404 d, 405 e 3 Macrob. I 17, 10

14 add. Smith cf. Class. et Med. 30, 47 || 22 *στρηνιώντων* Vict. *στρηνιούντων* **M** || 24 *μετὰ αἵματός μου* Papag.

1082. ⟨τὸ δεύτερον⟩] ἐκείνην γὰρ ἀπώλειαν μόνως ὁρίζομαι τὴν τῆς δουλείας, οὐ τὴν νῦν. δεύτερον δέ, δεύτερόν με ἀπολέσας οὐ μετὰ καμάτου. M
1090. μισόθεον] ἄθεον, θεοστυγές. M
5 **1091 a.** ⟨καρτάναι⟩] ἀντὶ τοῦ ἀγχόνηι. M
1091 b. ἀρτάναι] ἀγχόναι. F
1093. ⟨ἔοικεν⟩] ἔοικεν ὡς κύων εὖρις ἀναζητεῖν εἰ γέγονεν ἐνθάδε παλαιὸς φόνος. M
1095. ⟨μαρτυρίοις⟩] φαντάζεται γὰρ ὁρᾶν τὰ σώματα τῶν ἀνηιρη-
10 μένων παίδων Θυέστου. M
1099. ⟨προφήτας⟩] τοὺς λέξοντας ἡμῖν περὶ σοῦ· αὐτοὶ γὰρ αὐτόπται γινόμεθα. M
1103 a. ἀλκὰ] τὸν Ὀρέστην φησί. MF
1106. ἐκεῖνα] τὰ περὶ Θυέστου. MF
15 **1109.** ση(μείωσαι). M
1110. ⟨προτείνει⟩] διαδέχονται δὲ ἀλλήλους τοῖς ὀρέγμασι τῶν χειρῶν Αἴγισθος καὶ Κλυταιμήστρα. M
1113. ἐπαργέμοις· τοῖς τυφλοῖς καὶ ἀσήμοις ἀπὸ τῶν λευκώματα ἐχόντων ὀφθαλμῶν. M
20 **1114.** ⟨τόδε⟩] φαντάζεται τὸν χιτῶνα. M
1116. ⟨ἡ ξύνευνος⟩] ἡ σύνευνος τοῦ Ἀγαμέμνονος αἰτία ἔσται τοῦ φόνου. M
1117. ⟨στάσις⟩] ἡ στάσις, φησίν, ἐπολολύξαι μέλλει ἐπὶ τῆι λεωργῶι Κλυταιμήστραι, ἡνίκα ἀπόληται· παρὰ τὸ αἱ δ' ὀλόλυξαν θυγα-
25 τέρες τε νυοί τε καὶ αἰδοίη παράκοιτις. M
1119. κέληι] ἀντὶ τοῦ λέγεις. MF
1120. ⟨οὔ με φαιδρύνει⟩] οὐ σεσαφήνισται. M
1122. ⟨σταγὼν⟩] ἡ σταγὼν τὸ αἷμα. M
1123 a. ξυνανύτει] συμπληροῦται τοῦ βίου δύνοντος ταῖς αὐγαῖς σου,
30 μηκέτι ὁρῶντος [ταῖς αὐγαῖς]. M

sch. 1103 b Hesych. ἀλκή· ... ἡ ἀλέξησις ἢ μάχη. Αἰσχύλος Ἀγαμέμνονι || **sch. 1105** Phot. Reitz. 47, 13 ἄιδρις· ἄπειρος, ἀμαθής. Αἰσχύλος Ἀγαμέμνονι· τούτων—μαντευμάτων cf. Bekk. I 363, 9 || **18—19** sch. Ch. 665 b sch. uet. Prom. 499 bc Hesych. ἐπάργεμος Erot. 18, 23 Eust. 1430, 61

2 δεύτερον[1] Vict. γρ **M** | ἀπολέσας **M**[pc] ἀπώλεσας M[ac] || **4** θεοστυγῆ Abr. || **7** εὖρις ἀναζητεῖν Th. εὑρίσκοι ἀναζητεῖ **M** || **11** λέξοντας **Mi** λέξαντας **M** || **13** λέγει **F** || **23** λεωργῶι Rob. λεοργῶι **M** || **24—25** Hom. γ 450—451 || **26** ἀντὶ τοῦ om. **F** || **30** del. Th.

1123b. *ξυνανύτει*] *συμπληροῦται.* F
1125. *ἄπεχε*] *τίς ἂν ἀποστήσειεν αὐτῆς τὸν Ἀγαμέμνονα, ὅπως ἂν μὴ ἀπόληται;* M
1127a. *μηχανήματι*] *τῆς μελαγκέρου βοός.* M
1127b. ⟨*λαβοῦσα*⟩] *τὸν μελάγκερων ταῦρον λαβοῦσα τῶι μηχανήματι τῶι διὰ τῶν πέπλων τύπτει· ἐὰν δὲ γράφηται μ ε λ α γ κ έ ρ ω ι,* ⟨*μελαγκέρωι*⟩ *μηχανήματι τύπτει, ἀντὶ τοῦ κεκρυμμένωι.* M
1130. ⟨*οὐ κομπάσαιμ᾽ ἂν*⟩] *οὐκ ἀλαζονεύομαι μάντις ἄκρος* ⟨*εἶναι*⟩ *ἐπιγιγνώσκων τὰ θέσφατα, ὅμως δὲ στοχάζομαί τι κακὸν ἀποβήσεσθαι.* M
1132. *ἀπὸ δὲ θεσφάτων*] *γνωμολογῶν φησι τοῦτο· ἐνίοτε γὰρ καὶ ἐπ᾽ ἀγαθοῖς οἱ χρησμοὶ γίνονται, ὡς δὲ ἐπὶ τὸ πολὺ μοχθηρὰ χρησμωιδοῦσιν. ἢ τὸ ὅλον ἐπὶ τῶν χρησμῶν Κασσάνδρας· ἀπὸ τούτων τῶν θεσπισμάτων τίς ἀγαθὴ φάτις γίνεται; β ρ ο τ ο ῖ ς δὲ τοῖς ἐγχωρίοις.* M
1133a. *διὰ*] *διὰ τὰ προσόντα κακὰ τοῖς εἰσερχομένοις καὶ τὰ λεγόμενα φοβερά.* M
1133b. ⟨*κακῶν γὰρ*⟩] *παρὰ τὸ λεγόμενον ἐν τῆι συνηθείαι· π ρ ὸ ς μ ά ν τ ι ν ο ὐ δ ε ὶ ς ε ὐ τ υ χ ὴ ς ἀ π έ ρ χ ε τ α ι.* M
1137. *ἐπεγχέασα*] *συναναμίξασα τῶι τοῦ Ἀγαμέμνονος καὶ συγκεράσασα.* M
1138. *τί γάρ*] *τί γὰρ ἄλλο;* M
1140. *ἀμφὶ*] *περὶ σεαυτῆς ἄτοπα φθέγγηι.* M
1142a. ⟨*νόμον ἄνομον*⟩] *τὸ ἑξῆς· θρηνεῖς νόμον ἄνομον ἀμφιθαλῆ κακοῖς.* M
1142b. ⟨*νόμον ἄνομον*⟩] *ὠιδὴν ἀηδῆ· παρὰ τὸν κιθαριστικὸν δὲ νόμον φησί.* M
1145. ⟨*ἀηδὼν*⟩] *τοῦτο ἡδομένη τῆι μεταμορφώσει τῆς ἀηδόνος φησί.* M
1148. ⟨*κλαυμάτων ἄτερ*⟩] *εἰ γὰρ καὶ ἐν ὄρνισιν οὖσα θρηνεῖ φωνῆι μόνηι καὶ οὐ θρήνοις.* M
1149. *ἀμφήκει δορί*] *τῶι πελέκει.* M
1151. ⟨*ματαίους*⟩] *διὰ τὸ δυστυχῆ μαντεύεσθαι ἢ διὰ τὸ προειδέναι τὰ δεινὰ ἀνωφελῶς.* M

5 *λαβοῦσα* Mi *λαθοῦσα* M || 6 *γράφηται* Vict. *γράφεται* M || 6—7 add. Paley || 8 add. Papag. cf. sch. T 1130b || 11 *τοῦτο* Vict. *τὸ* M || 12 *μοχθηρὰ* M^{pc} *μοχθηροὶ* M^{ac} || 17—18 *πρὸς μάντιν οὐδεὶς εὐτυχὴς* Stanley *οὐδεὶς εὐτυχὴς πρὸς μάντιν* M || 23 *θρηνεῖς* Heath *θρηνεῖ* M || 31 huc trax. Risberg ad 1153 adscr. M

1153. *δυσφάτωι κλαγγᾶι*] ἀσαφεῖ, αἰνιγματώδει. M
1154. ⟨*θεσπεσίας*⟩] τῆς μαντικῆς. M
1159. *ἠνυτόμαν*· ηὐξόμην. M
1261. *μισθὸν*] μνείαν. F
5 **1266.** *σὲ*] ὦ στολή. F
1316. *δυσοίζω*] δυσχεραίνω. F
1320. *ἐπιξενοῦμαι*] φιλιοῦμαι. F
1324. *τιμαόροις*] τιμωροῖς. F
1328—1330. ση(μείωσαι) ὅλον. G
10 **1365a.** *πεπαιτέρα*] ὡριμωτέρα, γλυκυτέρα. F
1365b. *πεπαιτέρα*] ἡδύτερος, φησίν, ὁ θάνατος τῆς τυραννίδος. F
1408a. *ἐδανὸν*] βρωτόν. F
1408b. *ῥύσας*] γηραιᾶς. F
1416. *φλεόντων*] πληθυνόντων. F
15 **1447.** *παροψόνημα*] τὴν ἐκ περιουσίας τρυφήν. F
1614. *ἔποικτον*] ἐλεεινόν. F
1629. σημ(είωσαι). G
1644. *σὺν γυνὴ*] σοὶ δηλονότι. F
1653. *τύχην*] τὸν οἰωνὸν δηλονότι. F

sch. 1195 Hesych. *φλέδων*· *φλυαρία, καὶ ὁ ἀλαζών, εὐήθης* || **sch. 1216** Hesych. *στροβεῖ* (*στροβεῖται* cod.)· *ταράσσει, κινεῖ* || **sch. 1221** Hesych. *γέμος*· *γέμισμα, πλήρωμα* || **sch. 1637** Hesych. *ὕποπτος ἐχθρός*· ⟨***⟩ (in cod. Hesych. *ἐχθρός* explicatio est)

3 uu. 1160—1673 desunt in **M** || subscriptio + *καὶ νῦν πάρεστιν Ἀγαμέμνονος τέλος* **F**

SCHOLIA VETERA IN CHOEPHOROS

12. *πρέπουσα*] *κοσμηθεῖσα.*
13b. *νέον*] *ἀντὶ πῆμα νέον* ⟨***⟩.
21a. *προστροπή*] *ἱκέτις πρόσοδος.*
22. *ἰαλτὸς*] *ὑπὸ Κλυταιμήστρας πεμφθεῖσα. ἐπεὶ προΐαλλε συβώτης.* 5
23a. *συνκύπτωι*] *ἀντὶ κοπετῶι.*
23b. *συνκύπτωι*] *ὅπως ἐναγίζουσα κόψωμαι καὶ θρηνήσω.*
24. *πρέπει*] *διαφαίνεται.*
25. *ἄλοκι*] *αὔλακι, τομῆι.* 10
26. *βόσκεται*] *ἀντὶ τοῦ τρέφομαι τῶι θρήνωι.*
27—31. ⟨*λινοφθόροι … πεπληγμένων*⟩] *τὸ ἑξῆς· οἱ δὲ στολισμοὶ τῶν ὑφασμάτων πρὸς τοῖς στέρνοις λινοφθόροι λακίδες ἐρράγησαν.*
27. ⟨*λινοφθόροι*⟩] *τὰ λίνα διαφθείρουσαι.*
29. *ὑπ' ἄλγεσι*] *ἀντὶ ὑπὸ τῶν κοπετῶν.* 15
32a. *τορὸς*] *σαφής.*
32b. ⟨*ὀρθόθριξ*⟩] *ὀρθοῦσθαι ποιῶν τὰς τρίχας.*
33a. *ἐξ ὕπνου*] *ἀντὶ τοῦ δι' ὕπνου.*
33b. ⟨*ὀνειρόμαντις*⟩] *δι' ὀνείρων τοῖς δόμοις μαντευόμενος.*
34. *ἀωρόνυκτον*] *κατὰ τὸ μεσονύκτιον.* 20
35a. ⟨*μυχόθεν*⟩] *ἐκ τῶν τῆς καρδίας μυχῶν.*
35b. *περὶ φόβωι*] *περισσῶς τῶι φόβωι.*
35c. ⟨*ἔλακε*⟩] *ἀναλακεῖν καὶ βοῆσαι τὴν Κλυταιμήστραν ἐποίησεν ὁ σαφὴς Φοῖβος δι' ὀνείρων μαντευόμενος.*

sch. 13a Hesych. *προσκυρεῖ· προσεγγίζει* || **sch. 28** Et. Gen. AB *ἔφλαδον· σημαίνει τὸ ἐσχίσθην ἢ ἐθλάσθην* (*ἐκλάσθη* B). *Αἰσχύλος· λινοφθόροι—ἄλγεσιν* E. M. 403, 47 ex Orione

codex unicus **M**
3 lac. indic. Kirchhoff *προσεγγίζει* add. Frey coll. Hesych. = sch. 13a cf. Class. et Med. 30, 47 || 5 Hom. *ξ* 18 || 22 *τὸ* Jongh sed nihil mutandum, cf. Class. et Med. 30, 48 || 24 *Φοῖβος* Papag. *φόβος* **M**

36. γυναικείοισιν ἐν δώ(μασιν)· οἱονεὶ τοῖς ἐστερημένοις τοῦ κουριδίου ἀνδρός.
39 a. ὑπέγγυοι] ἀληθεῖς, θεοφόρητοι.
39 b. ὑπέγγυοι· τὴν ἀπόφασιν ἐγγυώμενοι ἢ ἐκ θεῶν ἠσφαλισμένοι
5 τὴν μαντείαν.
40. περιθύμως] ὑπερβαλλόντως.
41. ⟨τοῖς κτανοῦσι⟩] τοῖς ὀργιζομένοις νεκροῖς ἄχαριν ἢ ἐμοὶ ἀηδῶς ὑπηρετούσηι αὐτῆι.
44. ⟨ἰὼ γαῖα μαῖα⟩] ὦ γῆ μήτηρ· τοῦτο δὲ διὰ μέσου ἀναπεφώνηται.
10 **45.** μωμένα] ζητοῦσα.
46. ⟨δύσθεος γυνά⟩] δεῖ νοεῖν ὅτι τὸ δύσθεος γυνὰ ἠρέμα πως ἐφθέγξατο. διό φησι φοβοῦμαι δ' ἔπος τόδ' ἐκβάλλειν.
51. ⟨ἀνήλιοι⟩] οὓς οὐδὲ ἥλιος ἐπίδοι διὰ τὸ Ἀγαμέμνονος μύσος.
55. ⟨σέβας δ' ἄμαχον⟩] ἑκούσιον σέβας· τὸ μὴ ἐκ φόβου ἀλλὰ ἐξ
15 αἰδοῦς αὐτοῖς γινόμενον. τοῦτο δὲ θέλει εἰπεῖν ὅτι ἡ αἰδώς, ἣν περὶ Ἀγαμέμνονος εἶχον οἱ δῆμοι, νῦν εἰς φόβον ἐτράπη. ἐκεῖνον γὰρ ἠιδοῦντο καὶ ἐφίλουν, τοῦτον δὲ φοβοῦνται ὡς τύραννον διατελούμενον.
56. ⟨δι' ὤτων⟩] φιλοῦντες γὰρ αὐτὸν οὐδὲ ἀκούειν ἠνείχοντο κατ' αὐτοῦ.
20 **57.** δαμίας] τῆς δημοσίας, τῆς τοῦ δήμου.
58. φοβεῖται] ἀντὶ τοῦ ἕκαστος φοβεῖται φθέγξασθαι.
60. γνωμικῶς.
61—66. ⟨ῥοπὴ ... νύξ⟩] ἡ δὲ τῆς δίκης ῥοπὴ τοὺς μὲν ἐπισκοπεῖ ταχέως καὶ ἀμύνεται, ἄλλοις δὲ ἐν ἀμφιβόλωι ἐᾶι τὴν τιμωρίαν οὐκ
25 ἀθρόως αὐτοὺς ἀμυνομένη, ὥστε τοὺς ἠδικημένους ὑπ' αὐτῶν λυπεῖσθαι, ἄλλους δὲ σκότος καλύπτει, ὡς μηδ' ὁρᾶσθαι ὑπ' αὐτῆς· ὅμως ὁ φόνος πέπηγεν καὶ οὐ διαρρεῖ, ἀλλ' ἐπέξεισιν ἑαυτόν.
62 a. τοῖς μὲν] ἀντὶ τοὺς μέν.
62 b. ⟨ἐν φάει⟩] φανερῶς.
30 **63.** ⟨τὰ δ'⟩] ὅσα δὲ ὑπερτίθεται, ταῦτα σύν τε μεγάλωι ἀπέτισαν.
64. βρύει] ἀνθεῖ.
65. ⟨ἄκραντος ... νύξ⟩] ἀντὶ αἰώνιος θάνατος.
66. δι' αἵματ'] διὰ τὰ αἵματα.
67 a. τίτας] ὁ τιμωρός.

1 γυναικείοισιν Vict. γυναικίοισιν **M** || **6** ὑπερβαλλόντως **Mc** ὑπερβαλόντως **M** || **8** αὐτῆι Oberdick αὐτῶι **M** || **12** δ' Smith γὰρ **M** || **16** δημόται Blaydes || **17** τοῦτον Vict. τὸν **M** || **30** Hom. Δ 161

67b. *οὐ διαρρυδᾶν*] *ἀντὶ οὐ διαρρέων.*
68a. ⟨*διαλγὴς ἄτη*⟩] *ἡ διαιωνίζουσα ἄτη, τουτέστιν ὁ φόνος.*
68b. *διαφέρει*] *διασπαράσσει.*
69a. *παναρκέτας· τῆς εἰς πάντα τὸν χρόνον ἀρκούσης αὐτῶι.*
69b. ⟨*βρύειν*⟩] *λείπει τὸ ὥστε.* 5
70. ⟨*τοὺς δ' ... νύξ*⟩] *τοῦτο ὥσπερ ἐπαιδόμενόν ἐστι.*
71a. *νυμφικῶν ἑδω(λίων)· τὸ γυναικεῖον αἰδοῖον λέγει.*
71b. ⟨*θιγόντι*⟩] *ὥσπερ τῶι ἐπιβάντι νυμφικῆς κλίνης οὐκ ἔστιν ἴασις πρὸς ἀναπαρθένευσιν τῆς κόρης, οὕτως οὐδὲ τῶι φονεῖ πάρεστι πόρος πρὸς ἄκεσιν τοῦ φόνου.* 10
72. ⟨*ἐκ μιᾶς ὁδοῦ*⟩] *πάντες οἱ ποταμοὶ εἰς ἓν συνερχόμενοι.*
74. ⟨*ἰοῦσαν ἄτην*⟩] *ἀντὶ τῆς ἐπιούσης αὐτῶι ἄτης. Ἀττικὸν δὲ τὸ πρὸς αἰτιατικὴν συντάσσειν, καθαίρω σε τὸν φόνον· τὸ δὲ κοινόν, καθαίρω σε τοῦ φόνου.*
75—81. ⟨*ἐμοὶ ... κρατούσηι*⟩] *τὸ ἑξῆς· ἐμοὶ δὲ πρέποντα καὶ ὀφειλόμενά ἐστιν ἀπ' ἀρχῆς βίου τὰ τῶν βίαι με φερομένων αἰνέσαι πικρὸν φρενῶν στύγος κρατούσηι· ἀνάγκην γάρ μοι οἱ θεοὶ προσήνεγκαν,* ⟨*ὅ ἐστι πόλεμον*⟩. 15
75. *ἀμφίπτολιν· τὴν ἐκ διαφόρων πόλεων ἀνάγκην* [*ὅ ἐστι πόλεμον*], *ὡς ἀμφιμάτορας κόρους φησὶ ὁ Εὐριπίδης· ἐκ διαφόρων γὰρ πόλεων ἦσαν οἱ Ἕλληνες.* 20
78. *μὴ δίκαια*] *εἴτε δικαίως εἴτε μή. ἔστι δὲ παροιμ(ία)· δοῦλε δεσποτῶν ἄκουε καὶ δίκαια κἄδικα.*
79—81. *πρέποντ' ἀρχὰς βίου· πρέποντά μοί ἐστι καὶ ὀφειλόμενα, ἐξότε τοῦτον ἐπανήιρημαι τὸν βίον, τὰ τῶν πρὸς βίαν κεκτημένων ἐπαινέσαι, καλυπτούσηι τὴν κατ' αὐτῶν ἀποστύγησιν καὶ μηδὲ παρρησίαι τὸν δεσπότην κλαιούσηι.* 25
80—81. ⟨*πικρὸν ... στύγος*⟩] *τουτέστι μὴ ἐκφαινούσηι τὸ μῖσος τὸ κατὰ Κλυταιμήστρας.*
81—82. ⟨*ματαίοισι ... τύχαις*⟩] *ἐπὶ ματαίαις τύχαις.* 30
84. *εὐθήμονες· τουτέστιν ὑπηρέτιδες εὖ τιθεῖσαι τὰ κατὰ τὸν οἶκον.*

19—21 cf. Ar. Byz. 130sqq. (= An. Ox. III 194, 16)

12 *Ἀττικὸν* Mc *Ἀττικῶν* M || 16 *ἀπ' ἀρχῆς* Abr. *ἀπαρχὰς* M || 17 *στύγος* Mi *στάγος* M || 18 *ὅ ἐστι πόλεμον* huc trax. Smith e sch. 75 cf. Class. et Med. 30, 49 || 19 *ὅ ἐστι πόλεμον* del. Smith || 20 Eur. Andr. 466 || 22—23 C. P. G. I 394, 1 || 23 *κἄδικα* Bamb. *καὶ ἄδικα* M || 25 *βίαν* ⟨*με*⟩ Papag. | *κεκτημένων* M[pc] *κεκτημένον* M[ac] || 28—29 huc trax. Con. ad 83 adscr. M || 28 *μῖσος* Kirchhoff *μῦσος* M

87. *κηδείους*] *συγγενικάς.*
88. ⟨*εὔφρον'*⟩] *λείπει λόγον.*
91. *τῶνδ'*] *τῶν λόγων.*
92. *πελανόν*] *πᾶν τὸ ἐπιθυόμενον οὕτω καλοῦσιν.*
5 94. *τάδε*] *ἀντὶ τοῦ τὰς χοάς.*
95. ⟨*τῶν κακῶν*⟩] *παρ' ὑπόνοιαν· ἔδει γὰρ τῶν καλῶν εἰπεῖν.*
97. ⟨*γάποτον χύσιν*⟩] *ἐπεξηγήσατο τί εἰσιν ἃ φέρει διὰ τοῦ γάποτον χύσιν.*
98a. *στείχω καθάρμαθ' ὥστις ἐκπέ(μψας)· τοῦτο πρὸς τὸ*
10 *παρ' Ἀθηναίοις ἔθος, ὅτι καθαίροντες οἰκίαν ὀστρακίνωι θυμιατηρίωι ῥίψαντες ἐν ταῖς τριόδοις τὸ ὄστρακον ἀμεταστρεπτεὶ ἀνεχώρουν.*
98b. *πάλιν· εἰς τοὐπίσω ἀναχωρήσω.*
98–99. *ἀστρόφοισιν ὄμμα(σιν)· τὸ ἑξῆς οὕτως· δικοῦσα τεῦχος ἀστρόφοισιν ὄμμασι στείχω πάλιν, καθάρματα ὥς τις ἐκπέμψας.*
15 99. *δικοῦσα*] *πρὸς τὸν Ἀθήνῃσιν νόμον.*
100a. *ἔστε*] *γίνεσθε· ἀναδέξασθε τὴν αἰτίαν τῆς βουλῆς.*
100b. *μεταίτιαι*] *ἀντὶ τοῦ σύμβουλοι.*
102. ⟨*κεύθετ'*⟩] *τὴν βουλήν.*
103. ⟨*τὸ μόρσιμον*⟩] *ἀντὶ τοῦ οὐδὲν πείσεσθε παρὰ τὸ μόρσιμον.*
20 105. ⟨*τῶνδ'*⟩] *τῶν ὑπ' ἐμοῦ ἀνωτέρω λελεγμένων.*
107. ⟨*λέξω*⟩] *λέξω σοι τὸν ἐκ φρενὸς λόγον, αἰδουμένη τὸν Ἀγαμέμνονος τύμβον ὡς βωμόν.*
109. ⟨*φθέγγου*⟩] *χέουσα τὰς χοὰς εὖξαι ἀγαθὰ τοῖς εὖ φρονοῦσι, τῶι Ἀγαμέμνονι δηλονότι.*
25 110a. ⟨*τούτους*⟩] *τοὺς εὖ φρονοῦντας αὐτῶι.*
110b. *προσεννέπω*] *ὀνομάσω.*
111. ⟨*αὐτὴν*⟩] *σεαυτὴν κἀκεῖνον δηλονότι, ὅστις Αἴγισθον στυγεῖ.*
113. ⟨*φράσαι*⟩] *σὺ σκόπησον τίς στυγεῖ Αἴγισθον· οὐκ ἐμὸν γὰρ εἰπεῖν.*
30 114. ⟨*τῆιδε ... στάσει*⟩] *τῆι συστάσει ἡμῶν.*
120. ⟨*δικαστὴν ἢ δικηφόρον*⟩] *κριτὴν ἢ τιμωρόν· ὅ ἐστιν ἀκουσόμενον τοῦ πράγματος, ἢ πρὸ ἀκοῆς τὴν τιμωρίαν ἐπάξοντα ὡς ἀναμφιβόλου ὄντος τοῦ κακοῦ.*
122. *καὶ ταῦτα*] *καὶ τὸ ταῦτα εἰπεῖν παρὰ θεῶν ὅσιά μοι κρίνεται;*

11 *ἀνεχώρουν* M[pc] *ἀναχωροῦσιν* M[ac] || 13 *οὕτως* Mc *οὗ* M || 23 *εὖξαι* Vict. *εὔξαι* M || 27 *σεαυτὴν κἀκεῖνον δηλονότι* Hdl. *σεαυτὴν δηλονότι κἀκεῖνον* M || 32 *ἐπάξοντα* Vict. *ἐπάγοντα* M

126. *⟨ἐπισκόπους⟩] νῦν τί ἐπισκόπους;*
128. *⟨θρέψασα⟩] θρέψασα ἡ γῆ τὸν σπόρον τοῖς ἐπιοῦσι καρποῖς ἀπ' αὐτοῦ κύημα λαμβάνει.*
131a. *πῶς· ἵνα.*
131b. *πῶς] ἀντὶ τοῦ ὅπως.* 5
131c. *ἀνάξομεν] βασιλεύσομεν.*
132. *πεπραγμένοι] νενικημένοι, κατηγωνισμένοι.*
135. *ἀντίδουλος· ἰσόδουλος, ἐν δούλης τάξει.*
136. *ὑπερκόπως] ὑπερηφάνως.*
137. *⟨χλίουσιν⟩] τρυφῶσιν.* 10
142. *⟨τοῖς δ' ἐναντίοις⟩] τοῖς δὲ ἐχθροῖς σου λέγω σε φανῆναι τιμωρόν.*
145. *⟨ἐν μέσωι⟩] ἐν κεφαλαίωι, ἐν ὑποθέσει τίθημι.*
147. *ἴσθι] ἀντὶ τοῦ ἔσο.*
150. *⟨ἐπανθίζειν⟩] στέφειν ὡς ἄνθεσιν.*
151. *⟨παιᾶνα⟩] ⟨σημείωσαι⟩ ὅτι ἐπὶ ἀποθανόντος παιᾶνα εἶπεν καθὼς* 15 *καὶ Εὐριπίδης· παιᾶνα τῶι κάτωθεν ἀσπόνδωι θεῶι.*
152a. *καναχὲς] ἠχητικόν.*
152b. *⟨καναχὲς⟩] καναχηδὸν δακρύετε.*
154a. *ἔρυμα] τὸν τάφον.*
154b. *⟨πρὸς ἔρυμα τόδε⟩] τὸ ἑξῆς· ἐκκεχυμένων χοᾶν πρὸς ἔρυμα* 20 *τόδε ἵετε δάκρυ ἄγος ἀπεύχετον — τὸ δάκρυ γὰρ ἀπευκτὸν ἄγος εἶπεν — ἀπότροπον τῶν ἡμετέρων κακῶν καὶ τῶν ἀγαθῶν τῶν ἐχθρῶν.*
157. *⟨ἀμαυρᾶς⟩] τῆς ἀσθενοῦς ὡς πρὸς σύγκρισιν Ἠλέκτρας ἢ ὅτι σκιὰ οἱ νεκροί.*
161. *⟨δόμων⟩] τῶν ἐν τοῖς δόμοις κακῶν.* 25
162a. *⟨ἐν ἔργωι ... πιπάλλων⟩] σὺν ἔργωι πάλλων· ὅ ἐστι μὴ μόνον φέρων ἀλλὰ ⟨καὶ⟩ πράττων.*
162b. *⟨ἐν ἔργωι⟩] ἐν τῶι ἔργωι, ἐν τῶι βάλλειν.*
163a. *αὐτόκωπ(α)· τὰ ἀφ' ἑαυτῶν ἔχοντα τὴν λαβὴν ξίφη· σχέδια δὲ ἐκ τοῦ σχεδὸν φονεύοντα καὶ οὐ πόρρωθεν ὥσπερ τὰ βέλη.* 30

9 Hesych. *ὑπερκόμπως· ὑπερηφάνως* || 13 cf. Erennius Philo epit. 96 ap. Nickau ad Amm. 249 *Σοφοκλῆς ἐν Παλαμήδει· ἔφηβος ἴσθι μοῦνον ἀντὶ τοῦ γίνου. καὶ Αἰσχύλος ἐν Χοηφόροις* (*Χλοηφόροις* cod.)*· ἡμῖν ἠὼς ἴσθι* || 23—24 cf. schol. Hom. *δ* 824 || 26 Hesych. *πιπάλλων· κραδαίνων, πάλλων* || 29—30 cf. Hesych. *σχέδια*

1 *τί* Weckl. ⌈† **M** cf. Rutherford 31 || 4 huc trax. Con. ad 123 adscr. **M** || 11 *τοῖς δὲ* **Ma** *τοῖσδε* **M** || 15 add. Weckl. | *καθὼς* Abr. *κακῶς* **M** || 16 Eur. Alc. 424 || 27 add. Rob.

163b. ⟨*σχέδια*⟩] [*γρ(άφεται)*] *ἕτοιμα.*
165. ⟨*τῶν ἄνω τε καὶ κάτω*⟩] *ὡς ἐν μέσωι ἱδρυμένων.*
167. ⟨*ὀρχεῖται*⟩] *λίαν κινεῖται.*
173. ⟨*ἐχθροὶ*⟩] *λείπει τὸ εἰσίν.*
5 **174a.** *ὅδε· ὁ πλόκαμος.*
174b. ⟨*ὁμόπτερος*⟩] *συγγενής.*
183. ⟨*κλυδώνιον*⟩] *κίνησις τῆς χολῆς τῆς κατ' αὐτήν.*
184. ⟨*βέλει*⟩] *ὡς βέλει ἐκρούσθην ἐξ ἐναντίας τιτρώσκοντι.*
185. ⟨*δίψιοι*⟩] *ποθειναί μοι* ⟨*ἢ*⟩ *πρώην ἄρρευστοι, ὡς δίψιον Ἄργος*
10 *τὸ ποτὲ ἄνυδρον.*
190. ⟨*οὐδαμῶς ἐπώνυμον*⟩] *οὐκ ἄξιον τοῦ ὀνομάζεσθαι ὑπὸ τῶν τέκνων ἑαυτῆς μήτηρ.*
191. ⟨*φρόνημα*⟩] *τὸ δύσθεον φρόνημα οὐδαμῶς ἐπώνυμον μητρὸς πεπαμένη.*
15 **192.** ⟨*ἐγὼ δ'*⟩] *λείπει οὐκ ἔχω.*
194. ⟨*σαίνομαι*⟩] *παραμυθοῦμαι.*
195. *εἶχε φωνὴν*] *ὁ πλόκαμος δηλονότι.*
196a. *δίφροντις*] *διχογνώμων.*
196b. ⟨*'κινυσσόμην*⟩] *ἐφανταζόμην· κίνυγμα γὰρ τὸ εἴδωλον.*
20 **197a.** *εὖ· ἀντὶ τοῦ ἀκριβῶς.*
197b. *ἀποπτύσαι*] *μισῆσαι.*
200. ⟨*ἄγαλμα*⟩] *λείπει ἢ εἰς.*
202a. ⟨*ναυτίλων δίκηι*⟩] *τρόπωι ναυτῶν.*
202b. ⟨*δίκηι*⟩] ⟨*σημείωσαι*⟩ *ὅτι κατὰ δοτικὴν δίκηι.*
25 **203.** ⟨*εἰ δὲ χρὴ*⟩] *ἀντὶ τοῦ εἰ Ὀρέστου ἐστὶν ὁ πλόκαμος, γένοιτ' ἂν ἐκ μικρᾶς προφάσεως μέγα ἀγαθόν.*
205a. ⟨*καὶ μὴν*⟩] *τὸ ἑξῆς· καὶ μὴν δεύτερον τεκμήριον.*
205b. ⟨*στίβοι*⟩] *οἱ ἐν τῆι γῆι τύποι τῶν ποδῶν.*
206. ⟨*τοῖς τ' ἐμοῖσιν ἐμφερεῖς*⟩] *ἐπειδὴ ἄδηλον τίσιν ὅμοιοι, ἐπήγαγε*
30 *τοῖς γ' ἐμοῖσιν ἐμφερεῖς.*

9—10 Hesych. *δίψιον Ἄργος* Et. Gen. A *πολυδίψιον* E. M. 681, 10 sch. A Hom. Δ 171 Eust. 461, 2 sch. Eur. Alc. 560 || **19** sch. uet. A. Prom. 158bc Hesych. *κίνυγμα* (*κήνυγμα* cod.) Phot. *κίνυγμα* (*κήνυγμα* cod.) || **sch. 196c** Hesych. *'κινυσσόμην* (*κηνυσσόμην* cod.)· *εἴδωλον ἐγενόμην*

1 del. Smith. non est varia lectio sed glossa ad *σχέδια*, cf. Heims., Wiederherstellung 133 || **7** *αὐτήν* Blomf. *αὐτόν* **M** || **8** *βέλει* $\mathbf{M}^{corr}$ | *ἐξ ἐναντίας* Vict. *ἐξεναντίας* **M** || **9** add. Paley | *ἄρρευστοι* Th. *ἄρευστοι* **M** | Hom. Δ 171? v. test. cf. Class. et Med. 30, 50 || **19** *κίνυγμα* Stanley *κήνυμα* **M** cf. test. || **22** huc adscr. $\mathbf{M}^{pc}$ ad 201 adscr. $\mathbf{M}^{ac}$ || **24** add. Paley

209. ⟨τενόντων⟩] τὴν εἰς μῆκος τῶν ποδῶν ἔκτασιν τένοντάς φησιν.
211. ⟨ὠδὶς⟩] ἀλγηδὼν καὶ λύπη καὶ ὥσπερ ὠδίνω τὰ παρόντα.
214. ⟨ἐπεὶ τί ... κυρῶ⟩] ἐπειδὴ τί νῦν λαμβάνω ἐκ δαιμόνων; τίνος γὰρ ἤδη ἐπέτυχον ἀπὸ θεῶν ὅτι εἶπες τὰ λοιπά;
217. ⟨ἐκπαγλουμένην⟩] ἐκπάγλως θαυμάζουσαν. 5
218. ⟨τυγχάνω⟩] ἐπέτυχον.
225. ⟨δυσμαθεῖς⟩] ἀπιστεῖς.
226. ⟨κηδείου⟩] τῆς ἐπὶ κηδείαι τετμημένης.
229. ⟨συμμέτρου⟩] παραπλησίου.
231. ⟨ὕφασμα⟩] οὐ πάντως ἐν τῶι νῦν χιτῶνι, ἀλλ' εἰκὸς αὐτὸν ἔξωθεν 10 ἔχειν παιδικὸν σπάργανον.
232. ⟨θήρειον γραφήν⟩] παρὰ τὸ ἐν π ρ ο τ έ ρ ο ι σ ι π ό δ ε σ σ ι κ ύ ω ν ἔ χ ε.
236. ⟨δακρυτὸς⟩] ἢ ὅτι παρ' ἐλπίδας ὤφθη ἢ ὅτι φανεὶς δάκρυα αὐτῆι ἐκίνησεν. 15
239. ⟨δ'⟩] ὁ δὲ ἀντὶ τοῦ γάρ.
240—241. ⟨τὸ μητρὸς ... ἐχθαίρεται⟩] ἐν σοὶ ὁρῶ μητέρα στεργομένην, αὕτη δὲ ἀπέχθεταί μοι.
242. ⟨τῆς ... ὁμοσπόρου⟩] ἀπὸ κοινοῦ τὸ ε ἰ ς σ έ μ ο ι σ τ έ ρ γ η θ ρ ο ν.
246. θεωρὸς] θεατής. 20
247. ⟨γένναν⟩] ἡμᾶς δηλονότι.
249. ⟨τοὺς ἀπωρφανισμένους⟩] ἀντὶ τοῦ ἡμᾶς.
250. ⟨οὐ γὰρ ἐντελεῖς⟩] οὐκέτι γέννα ἐντελὴς ὥστε τὴν πατρώιαν θήραν προσάγειν τῆι καλιᾶι.
256. ⟨πόθεν⟩] ἐὰν ἀποκτείνει ἡμᾶς. 25
257. ⟨εὔθοινον⟩] εὔθυνον διὰ τοῦ υ τὸ δίκαιον σημ(αίνει), διὰ δὲ τῆς οι καλὴν εὐωχίαν ἔχον γέρας, παρὰ τὴν θοίνην.
258. ⟨αἰετοῦ γένεθλ'⟩] ὅ ς τ έ ο ἱ α ὐ τ ῶ ι φ ί λ τ α τ ο ς ο ἰ ω ν ῶ ν.
261. ⟨ἀρήξει⟩] ἀντὶ ἐπιμελήσεται τῶν βωμῶν.
262—263. ⟨κόμιζ'⟩] καθ' ἑαυτὸ ἀντὶ τοῦ σῶζε ἡμᾶς. δύνασαι γὰρ 30 ἀπὸ σμικρᾶς αἰτίας ἀνοικοδομῆσαι τὸν πεσόντα δόμον.
266. ⟨ἀπαγγελεῖ⟩] μὴ δυνάμενος ἐχεμυθεῖν.
268a. ἐν κηκῖδι] ἐν ἀναδόσει φλογὸς ἰσχυρᾶι.
268b. ⟨πισσήρει⟩] καιόμενα γὰρ τὰ ξύλα πίσσαν ἀνίησιν.

2 ὠδῖνες Papag. ‖ 4 ἀπὸ Kueck ὑπὸ **M** ‖ 8 ἐπὶ κηδείαι Rob. ἐπικηδεία **M** ‖ 12—13 Hom. τ 228 | πόδεσσι Hom. πόδεσι **M** ‖ 17 στεργομένην Steph. στεργόμενον **M** ‖ 21 ἡμᾶς Dd. ἡμεῖς **M** ‖ 28 Hom. Ω 292—293 ‖ 30 καθ' ἑαυτὸ Weckl. καθ' ἑαυτὸν **M**

271. ⟨*ἐξορθιάζων*⟩] *ἀνατεταμένα βοῶν.*
275. ⟨*ταυρούμενον*⟩] *ἢ ἐμὲ ζημίαν μεμφόμενον ἢ Αἴγισθον τὸν μὴ ζημιωθέντα ποινὴν ἐπὶ τῶι φόνωι τοῦ πατρός.*
276. *αὐτόν· τὸν Ἀγαμέμνονα ἔφασκε τελεσιουργεῖν.*
5 **278—290.** ⟨*τὰ μὲν ... λυμανθὲν δέμας*⟩] *τοὺς μὲν γὰρ πολίτας λοιμώξειν ἐκ γῆς ἔφασκεν πρὸς ἀφοσίωσιν Ἀγαμέμνονος ὡς μὴ ἐκδικήσαντας, ἡμᾶς δὲ σωματικῶς φθαρῆναι.*
278. ⟨*δυσφρόνων μειλίγματα*⟩] *τῶν ἐχθρῶν μειλίγματα· αἱ κολάσεις γὰρ τῶν ἀδικούντων μειλίγματά εἰσι τῶν ἀδικηθέντων.*
10 **281.** ⟨*ἀρχαίαν φύσιν*⟩] *τὴν ὑγιᾶ καὶ ἐξ ἀρχῆς οὖσαν ἡμῖν.*
282a. ⟨*λευκὰς δὲ κόρσας*⟩] *ἢ μέχρι γήρως ἀτυχήσομεν ἢ παραυτὰ γηράσομεν. παρὰ τὸ αἶψα γὰρ ἐν κακότητι βροτοὶ καταγη-⟨ράσκουσιν⟩.*
282b. *κόρσας*] *τρίχας.*
15 **285.** ⟨*ὀρῶντα*⟩] *τὸν ἐν σκότωι νῦν κινοῦντα τὴν ὀφρῦν λαμπρῶς ἡμᾶς ἐπεξιέναι ἔλεγεν.*
286. ⟨*τὸ ... βέλος*⟩] *ἡ νόσος.*
287. ⟨*ἐκ προστροπαίων*⟩] *ἐκ τοῦ Ἀγαμέμνονος ἱκετεύοντος τοὺς θεοὺς ἐκδικήσεως τυχεῖν.*
20 **290.** ⟨*λυμανθὲν δέμας*⟩] *λυμανθέντα.*
292. ⟨*εἶναι μετασχεῖν*⟩] *ἀπὸ κοινοῦ τὸ ἔφασκεν.*
294. ⟨*συλλύειν*⟩] *συγκαταλύειν, συνοικεῖν.*
296. ⟨*ταριχευθέντα*⟩] *καὶ ὁ Σώφρων· τὸ γῆρας ἄμμε μαραῖνον ταριχεύει.*
25 **297.** ⟨*τοιοῖσδε ... πεποιθέναι*⟩] *κατὰ ἀπόφασιν ἀναγνωστέον.*
298. ⟨*κεἰ μὴ πέποιθα*⟩] *καὶ εἰ μὴ διὰ τοὺς χρησμοὺς ἀλλὰ διὰ τὰ ἄλλα.*
304. ⟨*δυοῖν γυναικοῖν*⟩] *ὑπὸ Αἰγίσθου καὶ Κλυταιμήστρας.*
307. ⟨*τῆιδε*⟩] *τούτωι τῶι τρόπωι εἴη ἀποβῆναι.*
308a. *ἧι*] *καθάπερ.*
30 **308b.** *μεταβαίνει*] *ἐπινεύει.*

14 Et. Gen. AB *κόρση· ... καὶ κόρσαι αἱ τρίχες. Αἰσχύλος· λευκὰς—νόσωι* E. M. 530, 51 Et. Gud. 338, 29 St. Poll. II 32 || **sch. 290a** Et. Gen. AB *πλάστιγξ· ἡ μάστιξ παρ' Αἰσχύλωι παρὰ τὸ* (*τὸ* om. A) *πλήσσειν* E. M. 674, 20

1 *ἀνατεταμένως* Vict. || 2 *μεμφόμενον* Bamb. *μεμφόμενος* **M** || 12 Hom. τ 360 || 21 huc trax. Smith ad 293 adscr. **M** | *ἔφασκεν* Smith *ἔφησε* **M** || 22 *συγκαταλύειν* Abr. *συγκλύειν* **M** || 23—24 Sophron fr. 54 Kaibel || 26 *τοὺς χρησμοὺς* Papag. *τοῦ χρησμοῦ* **M**

309. ⟨*ἀντὶ μὲν ἐχθρᾶς ... ἐχθρὰ*⟩] *τοῦτο προστάσσει ἡ δίκη· ἀντὶ λοιδορίας γὰρ λοιδορίαν, ἀντὶ πληγῆς πληγήν.*
313. ⟨*τινέτω*⟩] *ὁ φονεύσας.*
315. ⟨*αἰνόπατερ*⟩] *δεινὰ παθών.*
317. ⟨*ἕκαθεν οὐρίσας*⟩] *μακρόθεν οὐριοδρομήσας εἰς τὸν σὸν τάφον, ὅ ἐστιν ἀπὸ Φωκίδος ἐλθών. ἄλλως· πόρρωθέν σου ἀφοριζόμενος. σὺ μὲν γὰρ ἐν σκότωι, ἐγὼ δὲ ἐν τῶι φωτί.*
319—322. ⟨*σκότωι ... Ἀτρείδαις*⟩] *ἐναντίον μὲν τὸ φῶς τῶι σκότωι, τουτέστι πολὺ τὸ μεταξὺ τῶν ζώντων καὶ τεθνεώτων. ὅμως δὲ τοῖς προσθοδόμοις Ἀτρείδαις ὁ γόος ὁ εὐκλεὴς ὁμοίως χάριτες κέκληνται.*
320. ⟨*χάριτες*⟩] *χάριτας δὲ νεκρῶν πάντες φασὶ τὸν γόον.*
322a. *π ρ ο σ θ ό δ ο μ ο ι· ἱκέται.*
322b. ⟨*προσθοδόμοις*⟩] *τοῖς πρότερον ἐσχηκόσι δόμον. νῦν γὰρ οὐκ εἰσὶ δόμοι· φ ρ ο ῦ δ α γ ὰ ρ τ ά δ' ἤ δ η.*
324. ⟨*οὐ δαμάζει*⟩] *τουτέστιν οὐ συναναλίσκεται τῶι σώματι ἡ ψυχικὴ δύναμις.*
325. ⟨*ἡ μαλερὰ γνάθος*⟩] *ἡ γ ν ά θ ο ς συνήθης ὡς ὁ κ ρ η μ ν ὸ ς λέγει Πίνδ(αρος) καὶ ἡ ἠ χ ὼ Σιμωνί(δης).*
326. *ὀργὰς*] *ἣν ἔχει ὀργὴν ἡ ψυχὴ ὕστερον φανεροποιεῖ.*
327. ⟨*ὀτοτύζεται*⟩] *δεῖ δὲ ὅμως τὸν ἀποθανόντα θρηνῆσαι.*
330a. ⟨*ματεύει*⟩] *ὅμως οὐκ ἠρεμεῖ ἡ ψυχή· ζητεῖ γὰρ παντελῶς ταρασσομένη τὴν ἐκδίκησιν.*
330b. *ματεύει*] *ζητεῖ τὸ ἀντιτιμωρεῖσθαι.*
331. *ἀμφιλαφὴς*] *ἀντὶ τοῦ πολύς.*
332a. *ἔξω.*
332b. *μέρει*] *κατὰ διαδοχὴν ὡς καὶ τοῦ ἀδελφοῦ.*
334. *ἔσω.*
336. ⟨*ἱκέτας*⟩] *ἱκέτην μὲν ἐμέ, φυγάδα δὲ Ὀρέστην. πληθυντικῶς δὲ ἑκάτερον εἶπεν ἀντὶ ἑνικοῦ.*
339. *οὐκ ἀτρίακτος*] *οὐκ ἀνίκητος, ἀλλὰ νενικημένη ὑπὸ τῶν ἐχθρῶν· ἀπὸ τῶν παλαιστῶν οἳ ἀποτριάζονται ὑπὸ τῶν ἀντιπάλων.*
340. ⟨*θεὸς χρῄζων*⟩] *ὁ χρησμωιδῶν Ἀπόλλων.*

30—31 Bekk. I 114, 22 Phot. *τριαχθῆναι* Poll. III 30 Et. Gen. AB *τριαχθῆναι* E. M. 765, 40

5—10 sch. 317 et 319—322 separ. Weckl. cont. **M** || **14** Eur. Med. 139 || **17** *λέγει* **M**[corr] | incertum quid dicere uoluerit scholiastes || **25** cf. Heims., Wiederherstellung 8 || **27** cf. ad 332a

344a. νεοκρᾶτα· κρατῆρα νεοκρήτου τ' εἰσεπιλειβομένης.
344b. ⟨νεοκρᾶτα⟩] Ὀρέστην τὸν νεωστὶ συγκραθέντα ἡμῖν. οἱ δὲ νεκροκρᾶτα, τὴν ἐπὶ νεκρῶι σπονδήν.
344c. ⟨νεοκρᾶτα⟩] νεωστὶ κεκραμένον· λείπει κρατῆρα.
5 **345.** ἔξω.
349. κελεύθοις] ταῖς προσόδοις.
350. ⟨ἐπιστρεπτὸν⟩] ⟨ζηλωτὸν⟩ ὡς τοὺς ὑπαντῶντας ἐπιστρέφεσθαι πρὸς θέαν ἡμῶν.
351. ⟨πολύχωστον⟩] [ζηλωτὸν καὶ] ὑπὸ πολλῶν κεχωσμένον.
10 **353a.** ⟨δώμασιν⟩] ἐν τοῖς οἰκοδομήμασι τῆς Τροίας.
353b. εὐφόρητον] τάφον εὐτυχῆ· φορὰ γὰρ ἡ τύχη.
354a. ἔσω.
354b. ⟨φίλος⟩] πρὸς τὸ πολύχωστον εἶχες τάφον ἀπέδωκεν ὁ χορός.
15 **359.** ⟨τυράννων⟩] Πλούτωνος καὶ Περσεφόνης.
361. ⟨μόριμον λάχος⟩] τὴν ἐκ Μοιρῶν βασιλείαν κεκληρωμένην ἔχων.
362. ⟨βάκτρον⟩] [τὸ] τὸ σκῆπτρον τὸ τοὺς ἀνθρώπους πειθοῖ μᾶλλον ἢ βίαι διατάττον.
363—364. ⟨μηδ' ... φθίμενος⟩] γυναικικῶς οὐδὲ τούτωι ἀρέσκεται,
20 ἀλλὰ τῶι μηδὲ τὴν ἀρχὴν ἀνῃρῆσθαι.
364. ⟨πάτερ⟩] ἀπέστρεψε τὸν λόγον πρὸς τὸν πατέρα αὐτοῦ.
366. ⟨τεθάφθαι⟩] λείπει τὸ ὤφειλες.
368a. τοῖς ἐκείνων.
368b. ⟨δαμῆναι⟩] λείπει τὸ ὄφελον.
25 **370a.** ⟨πρόσω⟩] πρὸ τοῦ ἀποθανεῖν τὸν πατέρα.
370b. ⟨τινὰ⟩] ἐμέ.
373a. ὑπερβορέου] ὑπερορίου.
373b. ὑπερβορέου τύχης· τῆς ἄγαν πνεούσης.

2—4 Et. Gen. *κρωσσός· ... καὶ παρ' Αἰσχύλωι νεοκρὰς* (*νεοκρᾶς* AB) *αἱ σπονδαὶ λέγονται, τουτέστιν αἱ νεωστὶ ἐκχυθεῖσαι* E. M. 537, 47 fort. ex Orione, cf. Or. 84, 14 Hesych. *νεοκράς* Phot. *νεόκρατος* Poll. VI 24

1 *εἰσεπιλειβομένης* Wil. *εἰσεπιλειβομένας* **M** | fort. citatur pars uersus Callimachi || **3** *νεκροκρᾶτα* Paley *νεοκρᾶτα* **M** || **5** cf. sch. 332a et 334 || **6** huc adscr. **M**^{pc} ad 348 adscr. **M**^{ac} || **7** *ζηλωτὸν* huc trax. Rob. e sch. 351 || **9** del. Rob. || **12** cf. sch. 332a. 334. 345 || **13** *τὸ* Vict. *τὸν* **M** || **17** *τὸ* apogr. *τὸ τὸ* **M** || **18** *διατάττον* Rob. *διατάττων* **M** || **21** huc trax. Heims. ad 367 adscr. **M** | *πρὸς* Wil. *εἰς* **M** | *αὐτῆς* Wil. || **22** *ὤφειλες* **M**^{pc} *ὄφειλες* **M**^{ac} || **23** *ὡς ἐκεῖνον* Wil. sed t. hoc loco nondum sanatus; coll. hoc sch. *φίλοις* in t. posuit Con. || **25** ad 367 *πάρος* trax. Dd.

374. ⟨*μείζονα φωνεῖς*⟩] *ῥάιδιον γὰρ τὸ εὔχεσθαι.*
375—376 ⟨*διπλῆς ... ἱκνεῖται*⟩] *διπλῆι μάστιγι ἐπλήγημεν.*
375. *μαράγνης*] *μάστιγος.*
376. ⟨*τῶν μὲν ἀρωγοὶ*⟩] *ἡμῶν οἱ σύμμαχοι οἱ περὶ Ἀγαμέμνονα.*
378. ⟨*στυγερῶν τούτων*⟩] *τοῦτο ἰδίαι ἀναπεφώνηται τῶν ἄγαν στυγερῶν τούτων. τοῦτο δὲ μᾶλλον Ἀγαμέμνονος τοῖς παισὶν αὐτοῦ συμβέβηκεν, πρὸς ὃ ἐπάγει Ἠλέκτρα ὅτι ὡς βέλος μου ὁ λόγος οὗτος ἥψατο.*
383. *ἄτην*] *τὴν Ἐρινύν.*
384—385. ⟨*τλάμονι ... χειρί*⟩] *τῆι χειρὶ Κλυταιμήστρας καὶ Αἰγίσθου.*
385. *τελεῖται*] *ἵνα τὸ ὅμοιον καὶ ἴσον τῶι πατρί μου φυλαχθῆι.*
386. ⟨*πευκήεντ'*⟩] *πανηγυρικόν, λαμπρόν.*
389—390. ⟨*θεῖον ... ποτᾶται*⟩] *ὅμως τὸ εἱμαρμένον περιίπταται πάντας καὶ οὐκ ἂν ἐπιβουλευθείην παρὰ τὸ μοιρίδιον.*
390. ⟨*πρώιρας*⟩] *τῆς ὄψεώς μου.*
392. *ἔγκοτον στύγος*] *ὀργίλον μῖσος.*
394. *ἀμφιθαλὴς*] *ὁ ποιήσων ἄμφω ἡμᾶς ἀναθηλῆσαι.*
395. *βάλοι*] *τοῖς ἐχθροῖς.*
396 a. ⟨*κάρανα*⟩] *τὰ τοῦ οἴκου ἄκρα· λέγει δὲ τοὺς περὶ Αἴγισθον.*
397. ⟨*πιστὰ*⟩] *καὶ γένοιτο πιστὰ τῆι χώραι ὅτι σὺ τούτων αἴτιος.*
398. ⟨*ἀπαιτῶ*⟩] *λείπει λαβεῖν.*
399. ⟨*τιμαί*⟩] *αἱ Ἐρινύες* ⟨*αἱ*⟩ *παρὰ τῶν χθονίων θεῶν τετιμημέναι.*
403—404. ⟨*ἄτην ... ἐπ' ἄτηι*⟩] *τὸ ἑξῆς· ἄτην ἑτέραν ἐπάγουσαν λοιγὸν ἐπ' ἄτηι.*
403 a. *βοᾶι· διὰ βοῆς ἐφέλκεται.*
403 b. ⟨*τῶν πρότερον*⟩] *τοῦ Ἀγαμέμνονος.*
405. ⟨*νερτέρων τυραννίδες*⟩] *ἀντὶ τοῦ οἱ κατὰ γῆς θεοί.*
406. ⟨*ἀραὶ*⟩] *ἀνειδωλοποιεῖ τὰς ἀράς.*
407. ⟨*τὰ λοίπ'*⟩] *ἡμᾶς τοὺς ὑπολοίπους τῶν Ἀτρειδῶν.*
408. ⟨*δωμάτων ἄτιμα*⟩] *ἀπεσπασμένους καὶ φυγαδευθέντας τῶν οἴκων.*
411. ⟨*κλύουσαν*⟩] *ἀντὶ τοῦ κλυούσηι.*
412. ⟨*καὶ τότε*⟩] *ὅτε σε οἰκτιζόμενον ἴδω, Ὀρέστα.*
413. *κελαινοῦται*] *ταράσσεται.*
414. *κλυούσαι*] *ἀκουούσηι τὸν ἀπὸ σοῦ λόγον.*

sch. 396 b Hesych. *δαΐξας· κατακόψας*

2 *μάστιγι* **Mi** *μάστιγηι* **M** || 12 *περιίπταται* Vict. *παρήπταται* **M** || 13 *ἐπιβουλευθείην* Abr. *ἐπιβουλευθείη* **M** || 21 add. Papag. || 33 *ἀπὸ* Paley *ὑπὸ* **M**

415. *ἐπαλκὲς*] *ἰσχυροποιόν.*
417. ⟨*πρὸς τὸ … καλῶς*⟩] *πρὸς τὸ καλά μοι ἐννοεῖν.*
418—419. ⟨*τί δ' ἂν φάντες*⟩] *τί δεινὸν εἰπόντες κατὰ Κλυταιμήστρας τύχοιμεν τῆς σῆς συμμαχίας, ὦ πάτερ; ἢ ἃ πεπόνθαμεν;*
420 a. *πάρεστι*] *τῆι μητρὶ τὸν Ἀγαμέμνονα.*
420 b. *τάδ'*] *τὰ ἄχη.*
421 a. ⟨*ἄσαντος*⟩] *ἀκολάκευτος.*
422. ⟨*θυμός*⟩] *ὁ τοῦ Ἀγαμέμνονος.*
423. ⟨*Ἄριον*⟩] *Περσικόν.*
425. ⟨*ἀπρικτόπληκτα*⟩] *παρὰ τὸ ἀπρίξ, πλήσσοντα ἀπρίξ.*
426 a. ⟨*πολυπάλακτα*⟩] *ἀλλεπάλληλον κτύπον ποιοῦντα.*
426 b. *ὀρέγματα*] *τύμματα.*
427. ⟨*κτύπωι*⟩] *τῶι ἄνωθεν ἐπαγομένωι τῆι κεφαλῆι κτύπωι.*
428. ⟨*κροτητὸν … κάρα*⟩] *κωμωιδ(εῖται) ὡς διθύραμβος.*
438. ⟨*ἔπειτ' … ὀλοίμαν*⟩] *ἐκ τούτου εἴρηται τὸ τεθναίην ὅτ' ἐκεῖνον ἀποπνεύσαντα πυθοίμην Καλλιμάχου.*
440—442. *ἔπρασσε*] *κατεσκεύασε δὲ τὸ μασχαλισθῆναι αὐτὸν ἡ Κλυταιμήστρα, ἢ καὶ οὕτως ἀτίμως αὐτὸν θάψασα, δυστυχίαν μεγίστην κατασκευάζουσα τῶι σῶι βίωι, ὦ Ὀρέστα, ὅ ἐστιν ἵνα δυστυχῆ βίον ζήσηις, τοῦ Ἀγαμέμνονος μὴ δυναμένου σοι συμμαχῆσαι πρὸς τὴν τιμωρίαν Κλυταιμήστρας.*
443. ⟨*δυσατίμους*⟩] *τοὺς τοῦ πατρός σου.*
446. *ἄφερκτος*] *κατάκλειστος παρὰ τὴν εἱρκτήν.*
447. ⟨*ἑτοιμότερα*⟩] *οὐδέποτε οὕτως ἑτοίμως ἐγέλασα ὡς τότε ἑτοίμως ἐδάκρυσα.*
448. *λίβη*] *τὰ δάκρυα.*
449. *κεκρυμμένα*] *πρὸς τὸ ἄφερκτος.*
450. ⟨*γράφου*⟩] *πρὸς τὸν Ὀρέστην φησίν.*
452 a. *τέτραινε*] *διατόρει, διακόμιζε.*
452 b. ⟨*ἡσύχωι φρονῶν βάσει*⟩] *ἠρεμαίαι τῆι ψυχῆι, ἀντὶ τοῦ προσέχων καὶ μὴ ἀποπλανώμενος.*

sch. 421 b Hesych. *ἄσαντος· οὐ σαίνων* || **sch. 424** Hesych. *ἰηλεμιστρίας· θρηνητρίας*

10 *παρὰ τὸ ἀπρίξ· πλήσσοντα ἀπρίξ* Tucker *απριξ τα απριξ* (supra: *παραιο πλησσ'*) **M** || **14** *διθυραμβῶδες* Con. || **15—16** Call. fr. 591 Pf. || **15** *ὅτ'* Vict. *οὔτ'* **M** || **18** *ἢ καὶ* Davies *ἡ καὶ* **M** || **22** *τὰς* Blass sed incertum utrum *δυσατίμους* an *δύας ἀτίμους* reddiderit scholiastes || **23** *παρὰ* Abr. *περὶ* **M** || **27** *ἄφερκτος* Smith *κατάκλειστος* **M**

453. ⟨*τὰ μὲν γὰρ*⟩] *ταῦτα* [*δὲ*] *τὰ συμβάντα Ἀγαμέμνονι.*
454a. *αὐτός· τουτέστιν* ⟨*Ἀγαμέμνων*⟩*· ἐπιθυμεῖ δὲ τὰ λοιπὰ γνῶναι ὁ πατήρ, τουτέστι τὴν τιμωρίαν.*
454b. *μαθεῖν*] *ἀντὶ μάθε τῶι τρόπωι σου.*
455. ⟨*πρέπει*⟩] *πρέπει δέ σοι ἀμετακινήτωι δυνάμει ὁρμᾶν κατ' αὐτῶν.* 5
456. *ξυγγενοῦ*] *σύμπραξον.*
457. *κεκλαυμένα*] *ἐλεεινά.*
458—459. ⟨*στάσις* ... *ἐπιρροθεῖ*⟩] *ἐπιβοᾶι σε ἡ σύστασις ἡμῶν ἡ κοινὴ βοηθὸν ἐλθεῖν.*
460. ⟨*πρὸς ἐχθρούς*⟩] *ἀντὶ* ⟨*κατὰ*⟩ *ἐχθρῶν.* 10
461. ⟨*Ἄρης Ἄρει*⟩] *ὁ ἡμῶν τῶι τῶν ἐχθρῶν.*
464—465. ⟨*μένει πάλαι*⟩] *πέπηγε μὲν καὶ ὥρισται πάλαι ὑπὸ Μοιρῶν τὸ τὴν Κλυταιμήστραν ἀνδροκτονήσασαν ἀναιρεθῆναι· τὸ κατ' αὐτῆς δὲ καλῶς κυρωθὲν ὑπὸ τῆς δίκης ἔλθοι, ὅ ἐστι μὴ μελλήσηι πρὸς τιμωρίαν Κλυταιμήστρας τὸ θεῖον.* 15
465. *εὐχομένοις*] *τὸ κατ' εὐχὴν ἡμῖν πληρωθείη.*
466. ⟨*ἐγγενὴς*⟩] *συγγενής· ὅτι ὑπὸ συγγενῶν ἐπάθομεν.*
467. *παράμουσος*] *ἐκτὸς τοῦ καθήκοντος.*
469. *ἄφερτα*] *ἀφόρητα.*
471. *ἔμμοτον*] *ἔνουλον ἢ βαθύτατον.* 20
474. ⟨*ἔριν*⟩] *ἣν ἤρισε πρὸς τὸν πατέρα.*
475. *ὅδ' ὕμνος*] *ταῦτα τὰ ἄισματα τοῖς κατὰ γῆς θεοῖς πρέπει καὶ οὐ τοῖς οὐρανίοις.*
479. ⟨*τρόποισιν οὐ τυραννικοῖς*⟩] *οὐχ ὡς βασιλεῖ πρέπει, ἀλλ' ἀδόξως.*
482. ⟨*φυγεῖν*⟩] *ὥστε φυγεῖν τὰς ἐπιβουλὰς Αἰγίσθου τιμωρησαμένην αὐτόν.* 25
483—485. ⟨*οὕτω γὰρ*⟩] *οὕτω γὰρ ἄν σοι κρατήσαντες πολυτελῶς θύσοιμεν. ἔννομοι δὲ αἱ νόμιμοι θυσίαι, αἱ πολυτελεῖς.*
484a. *κτιζοίατ'*] *γίγνοιντο.*
484b. *εἰ δὲ μή· οὕτως τὸ ἑξῆς· ἄτιμος ἐν πυροῖσι κνισωτοῖς ἔσηι παρ' εὐδείπνοις χθονός, ὅ ἐστι παρὰ κατοιχομένοις δείπνωι τιμωμένοις.* 30
484c. ⟨*εἰ δὲ μὴ*⟩] *τῶν ἄλλων νεκρῶν μεταλαμβανόντων ἐναγισμῶν σὺ ἄτιμος ἔσηι.*

1—3 sch. 453 et 454a separ. Paley cont. **M** || **1** del. Paley || **2** add. Th. || **10** add. Paley || **16** *τὸ* ⟨*μόρσιμον*⟩ Papag. || **22** *γῆς* Steph. *γῆν* **M** || **27—31** sch. 483—485 et 484b separ. Dd. cont. **M** || **28** *θύοιμεν* Bamb. || **29** *γίγνοιντο* Schuetz *γίγνοιτο* **M** || **30** *οὕτως τὸ ἑξῆς* ante *ἄτιμος* Weckl. post *τιμωμένοις* **M** || **31** *τιμωμένοις* Davies *τιμώμενος* **M** || **32** *ἐναγισμῶν* Dd. *ἐναγιασμῶν* **M**

486. *⟨παγκληρίας⟩] κτήσεως.*
487. *⟨οἴσω⟩] εἰ γὰρ Αἴγισθος ἀπολεῖται, κἀγὼ γαμηθήσομαι.*
488. *πρεσβεύσω] τιμήσω.*
489. *ἐντεῦθεν ἀμοιβαῖα τὰ πρόσωπα Ὀρέστου καὶ Ἠλέκτρας. πρῶτον*
5 *δὲ Ὀρέστου.*
491. *⟨οἷς ἐνοσφίσθης⟩] οἷς ἀπέθανες.*
493a. *⟨πέδαις δ' ἀχαλκεύτοις⟩] ἀσιδήροις δεσμοῖς· λέγει δὲ τῆι ἀδιεξ-οδεύτωι ἐσθῆτι.*
493b. *⟨πέδαις δ' ἀχαλκεύτοις⟩] ἐπιβουλευτοῖς πέπλοις.*
10 **497—498.** *⟨ἤτοι δίκην ... λαβεῖν⟩] ἢ τὴν δίκην συμμαχοῦσαν ἡμῖν κατ' αὐτῶν πέμψον ἢ σὺ κόλασον αὐτούς.*
498a. *ἀντίδος] ἀντίλαβε.*
504. *⟨οὐδέπερ θανών⟩] ἐὰν ἡμεῖς ὦμεν.*
505a. *κληδόνες σωτήριοι] διὰ φήμης σώζοιέν σε.*
15 **505b.** *⟨κληδόνες⟩] εὐφημίαι.*
506a. *⟨φελλοὶ⟩] ἐκεῖνοι γὰρ ἐπιπλέοντες σημαίνουσι τὴν ἐν βυθῶι σαγήνην· οὕτω καὶ ἡμεῖς ζῶντες σὲ τὸν θανόντα.*
506b. *φελλοί· τὰ κοῦφα ξύλα τὰ ἀναβαστάζοντα ἐν τῆι θαλάσσηι τὰ δίκτυα.*
20 **507.** *⟨κλωστῆρα ... λίνου⟩] ἐν περιφράσει τὸν κλωστὸν λίνον.*
508. *ἄκου'] ἀντὶ τοῦ πείσθητι.*
509. *⟨τιμήσας⟩] ἀντὶ τοῦ ἐπακούσας ἡμῶν.*
511a. *⟨τίμημα⟩] λείπει ἡ εἰς.*
511b. *⟨ἀνοιμώκτου⟩] πολυθρυλήτου.*
25 **512a.** *⟨κατώρθωσαι⟩] ὦ Ὀρέστα.*
512b. *⟨τὰ δ' ἄλλ'⟩] τὰ κατὰ τὴν σφαγὴν Αἰγίσθου.*
514. *ἔξω δρόμου] ἔξω τοῦ προκειμένου.*
516a. *⟨τιμῶσ'⟩] ἀντὶ τοῦ τιμῶσα αὐτή.*
516b. *ἀνήκεστον] ἀνίατον.*
30 **517.** *⟨θανόντι δ' οὐ φρονοῦντι⟩] τῶι ὑπ' αὐτῆς θανόντι καὶ μὴ φρονοῦν-τι τὰ αὐτῆς.*
518. *⟨οὐκ ἔχοιμ'⟩] [οὐ] διστάζω ὅτι οὐκ ἐπέμφθη.*

sch. 484d Hesych. *εὐδείπνοις· θυσία τις παρὰ Ἀθηναίοις ἐπ' Ἐριγόνης καὶ αἱ τοῖς νεκροῖς ἐπιφερόμεναι σπονδαὶ ἤγουν χοαί* Phot. *εὐδείπνους* || 7—8 sch. Lycophr. 1099 sch. Eur. Hec. 1281 Apollod. epit. 6, 23 || **sch. 498b** Hesych. *λαβάς· ἀντιλήψεις*

16 *ἐπιπλέοντες* Abr. *ἐπιπλέον* M || 23 huc trax. Con. ad 510 adscr. M || 26 huc trax. Con. ad 513 adscr. M || 30 *τῶι* M^pc *τὰ* M^ac || 32 del. Abr. | *ὅτι οὐκ*] *ὅτου ἕνεκα* Weckl. *ὅτι οὖν* Davies

519a. *⟨μείω δ' ἐστὶ⟩] ἀντὶ τοῦ ὑπερβαίνει τὰ ἁμαρτήματα τὴν ἀπὸ τῶν δώρων πειθὼ καὶ παρηγορίαν.*
519b. *⟨δ'⟩] ὁ δὲ ἀντὶ τοῦ γάρ.*
525. *δύσθεος] ἀσεβής.*
528a. *⟨καρανοῦται⟩] κεφαλαιοῦται.*
528b. *⟨λόγος⟩] ἀντὶ τοῦ τὰ ἐφεξῆς τοῦ ὀνείρου.*
529a. *⟨ἐν σπαργάνοισι⟩] ὡς παῖδα αὐτὸν ἐκτεῖναι ἐδόκει ἐν τοῖς σπαργάνοις.*
529b. *⟨ὁρμίσαι⟩] ἀπὸ κοινοῦ τὸ ἔδοξεν.*
530a. *⟨χρήιζοντα⟩] πρὸς τὸ δράκοντα εἶπεν τὸ χρήιζοντα.*
530b. *νεορενὲς] ἀντὶ τοῦ νέον.*
532. *⟨στύγους⟩] τοῦ μισητοῦ θηρίου.*
533. *⟨θρόμβον αἵματος⟩] ἀντὶ γάλακτος αἷμα.*
534a. *ὄψανον· ὄψις, φαντασία. τὸ χ δὲ ὅτι ἀπὸ τῆς ὄψεως παρῆξε τὸ ὄψανον.*
534b. *⟨ὄψανον⟩] τὸ ἐκ τοῦ ἀνδρὸς Ἀγαμέμνονος φάντασμα.*
536. *ἀνῆλθον] ἀνέλαμψαν.*
537. *⟨λαμπτῆρες⟩] οἱ σβεσθέντες ἤδη λαμπτῆρες· νὺξ γὰρ ἦν.*
538. *⟨χοάς⟩] τὰς πρὸς εὐμένειαν Ἀγαμέμνονος.*
539a. *⟨ἄκος τομαῖον⟩] θεραπευτικὸν ἴαμα.*
539b. *⟨ἐλπίσασα⟩] λείπει τὸ ποιεῖν, θεράπευμα τμητικὸν τῶν κακῶν οἰηθεῖσα ποιεῖν.*
542a. *⟨νιν⟩] αὐτό· τὸ ὄνειρον.*
542b. *⟨συγκόλλως⟩] συνημμένως τῆι ἀληθείαι.*
543. *⟨χῶρον⟩] τὴν γαστέρα τῆς Κλυταιμήστρας.*
544. *⟨†ηπλείζετο†⟩] ἐπιμελείας ἠξιοῦτο.*
548—550. *δεῖ τοί νιν ὡς ἔθρεψεν· ὥσπερ δι' αἵματος ἔθρεψε τὸν δράκοντα — ἔδει γὰρ αὐτὴν θρέψαι τῶι ἰδίωι γάλακτι — οὕτως δεῖ ⟨αὐτὴν⟩ δι' αἵματος τὴν ἐμὴν ἐπιθυμίαν πληρῶσαι.*
549. *ἐκδρακοντωθεὶς] ἀγριωθεὶς κατ' αὐτῆς.*
554a. *ἁπλοῦς] σύντομος.*
554b. *⟨τήνδε⟩] τὴν Ἠλέκτραν.*

14 Hesych. *ὄψανον· ὄψις*

3 huc trax. Stanley ad 522 adscr. M || 21—22 *θεράπευμα ... ποιεῖν* huc trax. Smith post *ἴαμα* sch. 539a M cf. Class. et Med. 30, 52 || 23 huc trax. Jongh ad 541 adscr. M | post *αὐτό* dist. Tucker || 28 *ἔδει γὰρ* Th. *δεῖ* M | *οὕτως δεῖ* Th. *ὅ ἐστι* M || 29 add. Weckl.

556. *ἄνδρα*] *τὸν Ἀγαμέμνονα.*
558. ⟨*ἧι*⟩] *καθό· τὸ ἑξῆς· ἐφήμισε τὸ πρίν.*
560 a. ⟨*εἰκώς*⟩] *οἶμαι ἀντὶ τοῦ ἐοικώς.*
560 b. *παντελῆ*] *τελείαν.*
5 **560 c.** ⟨*παντελῆ σαγὴν*⟩] *πανοπλίαν ἢ τελείαν περιβολὴν ἔχων ξένου.*
563. ⟨*φωνὴν*⟩] *φονικήν· οἶμαι δὲ Φωκικὴν θέλειν.*
566 a. ⟨*δαιμονᾶι*⟩] *τετάρακται.*
567—568. ⟨*μενοῦμεν*⟩] *κἂν μὴ δεξιωθῶμεν, μενοῦμεν πρὸ τῶν θυρῶν ἐπὶ τοσοῦτον ὥστε εἰκάζειν τινὰ ὅτι ἠτιμώθημεν καὶ τοιαῦτα λέγειν.*
10 **571.** *βηλόν· τὸν οὐδόν.*
574—575. ⟨*σάφ' ἴσθι*⟩] *τὸ ἑξῆς· σάφ' ἴσθι πρὶν αὐτόν.*
576. ⟨*ποδώκει*⟩] *τῶι ταχεῖ ξίφει· ὡς ἐπὶ ἐμψύχου δὲ εἶπεν.*
577. *ὑπεσπανισμένη*] *οὐκ ἀποτυγχάνουσα.*
578. *τρίτην πόσιν*] *ὡς εἰ ἔφη τοῦ τρίτου κρατῆρος, μετὰ Ἀγαμέμνονα*
15 *τῶν δύο τούτων τὸ αἷμα.*
579. ⟨*σὺ*⟩] *ὦ Ἠλέκτρα.*
580 a. ⟨*ἀρτίκολλα*⟩] *σύμφωνα καὶ ὑγιῶς συναρμοζόμενα ταῖς νεωστὶ συνθήκαις ἡμῶν.*
582. *τὰ καίρια*] *τὰ χρήσιμα.*
20 **583.** ⟨*τούτωι*⟩] *τῶι Πυλάδηι.*
584. *ὀρθώσαντί μοι*] *συμπράξαντί μοι.*
586 a. ⟨*δειμάτων ἄχη*⟩] *κατὰ περίφρασιν δείματα.*
586 b. *δειμάτων ἄχη*] *κακῶν κάκιστα βλάβη.*
587. *ἀγκάλαι*] *αἱ κοιλότητες.*
25 **588.** *ἀνταίων*] *ἐναντίων.*
589 a. ⟨*βλάστουσι*⟩] *πολλὰ τίκτει ὁ ἀὴρ ἐκ τῆς ἡλιακῆς ἀκτῖνος πτηνὰ καὶ ἑρπετά· εἰσὶ γὰρ ὄφεις ἐξ ἀέρος πίπτοντες.*
589 b. ⟨*βλάστουσι*⟩] *γεννῶσι καὶ αὔξουσιν.*
589 c. ⟨*πεδαίχμιοι*⟩] *αἱ μεταξὺ γῆς καὶ οὐρανοῦ λαμπάδες, τουτέστιν*
30 *ὁ ὑπὸ ἡλίου φωτιζόμενος ἀήρ.*
590 a. *λαμπάδες*] *αἱ ἀκτῖνες τοῦ ἡλίου αἱ καθημεριναί.*

sch. 566 b Hesych. *δαιμονᾶι· ὑπὸ δαίμονος κατέχεται* || **sch. 580 b** Hesych. *ἀρτίκολλα· ἡρμοσμένα*

5 *περιβολὴν* Vict. *παραβολὴν* M || 8 *κἂν* Vict. *καν* M || 25 *ἐναντίων* Heath *ἐναντι* M || 26 huc trax. Jongh ad 585 adscr. M || 28 ad *βλάστουσι* trax. Heath fort. ad *βρύουσι* trahendum cf. Or. 56, 6 *ἔμβρυον ἀπὸ τοῦ ἔνδον βρύειν καὶ αὔξεσθαι* cf. de Stefani ad Et. Gud. 461, 10—12, sch. Pind. Nem. XI 4 a (p. 186, 4 Dr.)

590b. *πεδάμαροι*] *οἶμαι πέδουροι ἵν' ἦι τὸ σημαινόμενον μετέωροι.*
592a. ⟨*αἰγίδων*⟩] *καταιγίδων.*
592b. *φράσαι*] *ἐννόησον.*
594. *ἀλλ'*] *ὁ ἀλλὰ ἀντὶ τοῦ δέ.*
595. *τίς λέγοι φρεσίν· ἀντὶ τοῦ ἐννοήσειεν.*
597. ⟨*ἔρωτας*⟩] *ἀπὸ κοινοῦ τὸ τίς λέγοι.*
599. *ὁμαυλίας*] *ὁμοκοιτίας.*
600a. ⟨*θηλυκρατὴς*⟩] *ὁ γυναικῶν κρατῶν. λέγει δὲ ταῦτα ὅτι ἡ Κλυταιμήστρα κατωφερείας ἕνεκα τῶι Αἰγίσθωι ἐγαμήθη.*
600b. ⟨*ἀπέρωτος*⟩] *ἀντὶ στυγνὸς καὶ ὑπερήφανος.*
602a. ⟨*ἴστω δ' ὅστις*⟩] *γινωσκέτω δ' ὅστις ὁ παιδευθεὶς οὐχ ὑποπτέροις φροντίσιν, ἵν' ἦι τὸ ὃς ὑποτακτικὸν ἀντὶ τοῦ ὁ προτακτικοῦ.*
602b. ⟨*οὐχ ὑπόπτερος*⟩] *ὁ μὴ κοῦφος, ἀλλ' ἀληθῶς μαθεῖν θέλων.*
603–606. ⟨*τὰν ... πρόνοιαν*⟩] *οὕτω τὸ ἑξῆς· ἥντινα μήσατο πρόνοιαν τάλαινα Θεστιὰς ἡ παιδολύμας καὶ πυρδαής.*
603. ⟨*ἁ παιδολύμας*⟩] *ἡ τῶι παιδὶ Μελεάγρωι λυμηναμένη.*
607. ⟨*παιδὸς*⟩] *ἥλικα ξύμμετρόν* ⟨*τε*⟩ *τῶι παιδὶ δαλόν.*
608–609. ⟨*ἐπεὶ ... κελάδησε*⟩] *ἐξότε πεσὼν ἀπὸ τῆς μητρὸς ἐβόησεν, τουτέστιν ἐξότε γεγέννηται.*
608. *ἐπεὶ μολὼν*] *ἀφ' οὗ ἀντὶ ἐξότε.*
610. *ἥλικα ξύμμετρόν τε· τὸν συμμετρηθέντα αὐτῶι εἰς τὸ διὰ βίου μοιρόκραντον ἦμαρ, ὅ ἐστιν εἰς τὸ ἦμαρ τῆς ζωῆς τὸ ὑπὸ Μοιρῶν δεσποζόμενον.*
612. ⟨*στυγεῖν*⟩] *ἀπὸ κοινοῦ τὸ ἴστω τίς.*
615. ⟨*φῶτ'*⟩] *τὸν πατέρα Νῖσον.*
617. ⟨*ὅρμοις*⟩] ⟨*σημείωσαι*⟩ *ὅτι ὅρμον ἀπὸ Μίνωός φησιν εἰληφέναι Σκύλλαν, οὐ δι' ἔρωτα.*
620. ⟨*ἀπροβούλως*⟩] *ἀπρονοήτως, οὐ προσκεψαμένη τὸ ἀποβησόμενον. ὡς προδότις γὰρ τοῦ πατρὸς ἐτιμωρήθη ὑπὸ Μίνωος.*
621a. ⟨*πνέονθ' ... ὕπνωι*⟩] *τὸ ἑξῆς· ἀπώλεσεν ἁ κυνόφρων Νῖσον πνέοντα ὕπνωι.*
621b. *πνέονθ'*] *ἀντὶ ἀσθμαίνοντα.*

1 Hesych. *πέδουρος· μετέωρος* Phot. sch. Nic. Th. 729

7 *ὁμοκοιτίας* **Mi** *ὁμοικοιτίας* **M** || 11 *ὅστις* del. Francken || 17–19 sch. 607 et 608–609 separ. Smith post Enger cont. **M** || 17 add. Smith || 20 *ἀντὶ ἀφ'* M[ac] || 25 *Νῖσον* Schuetz *Νίσον* **M** quod etiam in sch. 621a et 622a scripsit || 26 add. Paley | *ἀπὸ* Paley *ὑπὸ* **M**

622a. *κιγχάνει*] *τὸν Νῖσον ἢ τὴν Σκύλλαν.*
622b. *Ἑρμῆς*] *ὁ θάνατος.*
623. *ἐπεὶ δ'*] *λείπει μνήσομαι Κλυταιμήστρας.*
624a. ⟨*δὲ*⟩] *ὁ δὲ ἀντὶ τοῦ γάρ.*
5 **624b.** ⟨*γαμήλευμ'*⟩] *τοῦ Αἰγίσθου.*
626. ⟨*μήτιδας*⟩] *λείπει εἰργάσατο.*
628. ⟨*ἐπ' ἀνδρὶ*⟩] *ἐπ' ἀνδρὶ φοβερῶι καὶ σεβαστῶι καὶ παρὰ τοῖς πολεμίοις.*
629. *ἀθέρμαντον*] *ἀθράσυντον· διὰ τὸ θράσος γὰρ ᾄδονται αἱ Λήμ-*
10 *νιαι.*
630. ⟨*αἰχμάν*⟩] *λείπει ἡ κατά.*
631a. *πρεσβεύεται*] *μεῖζον ὀνομάζεται.*
631b. *τὸ Λήμνιον*] *λείπει ἔργον.*
632a. *λόγωι*] *ἐν διηγήματι.*
15 **632b.** *κατάπτυστον*] *μισητόν.*
633. ⟨*ἤικασεν δέ τις*⟩] *εἰκονίσειέ τις.*
634. ⟨*τὸ δεινὸν*⟩] *τὸ κατὰ Κλυταιμήστραν.*
635. ⟨*δ'*⟩] *ὁ δὲ ἀντὶ τοῦ γάρ.*
636. ⟨*γένος*⟩] *τὸ τῶν Λημνιάδων.*
20 **637—640.** ⟨*ἀγείρω ... σοῦται*⟩] *συνάξασα κατηγορῶ· νύσσει γάρ με τὸ δίκαιον ταῦτα λέγειν.*
639—640. ⟨*τὸ δ' ... σοῦται*⟩] *τὸ δὲ ξίφος τῆς δίκης, τὸ ἔχον πικρίαν, ἀντικρὺ διὰ πνευμόνων ὁρμᾶι.*
640b. *σοῦται*] *ὁρμᾶι.*
25 **641.** ⟨*τὸ μὴ θέμις γὰρ*⟩] *τὸ γὰρ μὴ δίκαιον οὐ δεῖ ἀμελεῖσθαι οὐδὲ παρασιωπᾶσθαι, ἀλλ' ἐκδικήσεως τυγχάνειν.*
643. *πατούμενον*] *λείπει συμφέρον ἐστίν.*
644a. ⟨*τὸ πᾶν*⟩] *λείπει ὁ γάρ. καὶ ἔστι· τὸ γὰρ πᾶν τοῦ Διὸς σέβας παρεξέβησαν ἀθεμίστως οἱ περὶ τὸν Αἴγισθον.*
30 **644b.** ⟨*παρεκβάντες*⟩] *ἀντὶ παρεξέβησαν. καὶ ἔστι μετοχὴ ἀντὶ ῥήματος ὡς τὸ καρπῶι βριθομένη.*
646. ⟨*δίκας δ'*⟩] *ῥίζα δικαιοσύνης καταβάλλεται.*
648—649. ⟨*τέκνον ... παλαιτέρων*⟩] *ἐπεισφέρει δὲ τοῖς οἴκοις τέκνον παλαιῶν αἱμάτων, ὅ ἐστι τίκτει ὁ φόνος ἄλλον φόνον.*

sch. 640a Hesych. *ὀξυπευκές· ὀξύπικρον* || **30—31** cf. Ariston. ad Θ 307 cf. ad sch. uet. Eum. 782b

17 *Κλυταιμήστραν* Paley *Κλυταιμήστρας* **M** || **31** *τὸ* **Mi** *τῶι* **M** | Hom. Θ 307

648a. ⟨*τέκνον*⟩] *ἀντὶ τοῦ ποινήν.*
648b. ⟨†*δίμασε*†⟩] *λείπει ἡ ἐπί.*
650. ⟨*τείνει*⟩] *ἀπαιτεῖ.*
651. ⟨*κλυτὰ*⟩] *ἡ περιβόητος.*
654. ⟨*τίς ἔνδον*⟩] *τίς ἐν δόμοις;* 5
655. ⟨*ἐκπέραμα καλῶ*⟩] *ἐκπεράσαι τινὰ καλῶ· τὸ ἐκπέραμά φησι τὸν διάκονον τὸν εἰσιόντα καὶ ἐξιόντα πρὸς τὰς ἀποκρίσεις.*
660. ⟨*νυκτὸς ἅρμ'*⟩] *περιφρα(στικῶς) ἡ νύξ.*
661. *ἐμπόρους*] *ὁδοιπόρους.*
662—663 ⟨*ὥρα ... ξένων*⟩] *ἐν τοῖς πανδόκοις δόμοις τῶν ξένων καιρὸς τὴν ἄγκυραν προσορμῆσαι τοὺς ὁδοιπόρους· ἀντὶ τοῦ καταλῦσαι.* 10
663. *τελεσφόρος*] *ἀρχηγός, διοικητής.*
664. ⟨*εὐπρεπέστερον*⟩] *βέλτιον ἄνδρα ἐξελθεῖν.*
665a. ⟨*λέσχῃσιν*⟩] *ἐν ταῖς πρὸς γυναῖκας ὁμιλίαις.*
665b. ⟨*ἐπαργέμους*⟩] *σκοτεινοὺς ἀπὸ τῶν περὶ τοὺς ὀφθαλμοὺς λευκωμάτων.* 15
665c. *οὐκ ἐπαργέμους*] *πλεονάζει ἡ οὐ.*
671. ⟨*δικαίων ... παρουσία*⟩] *ἀντὶ δίκαιοι ἄνθρωποι.*
672. ⟨*βουλιώτερον*⟩] *βουλευτικώτερον· ὅ ἐστιν· εἰ δὲ οὐ διὰ ξενίαν ἥκετε, ἀλλὰ δι' ἄλλο τι.* 20
674. ⟨*Δαυλιεὺς*⟩] *Δαυλὶς ὡς καὶ Αὐλίς.*
675. ⟨*αὐτόφορτον*⟩] *ἐπὶ ἰδίαι πραγματείαι.*
676. ⟨*ἀπεζύγην*⟩] *τῆς ὁδοῦ, τῆς ὁδοιπορίας ἀπέλυσα ἐπὶ τῶι ξενισθῆναι παρ' ὑμῖν· ἐκ μεταφορᾶς τῶν ἀπολυομένων τοῦ ζυγοῦ ἵππων καὶ ἐπὶ φάτνην ὁρμώντων.* 25
677. *συμβαλὼν*] *συναντήσας.*
678. ⟨*ἐξιστορήσας καὶ σαφηνίσας*⟩] *ἐρωτήσας καὶ μαθών.*
679. ⟨*πεύθομαι*⟩] *ἤκουσα γὰρ ἐν τῶι μου πρὸς αὐτὸν διαλόγωι ὅτι Στρόφιος προσαγορεύεται.*
680a. ⟨*ἐπείπερ*⟩] *τὸ ἑξῆς· ἀγνὼς πρὸς ἀγνῶτα εἶπεν· ἐπείπερ, ὦ ξένε. τὰ δὲ ἄλλα διὰ μέσου.* 30
680b. ⟨*ἄλλως*⟩] *δι' ἄλλην χρείαν.*

15—16 cf. ad sch. uet. Ag. 1113

6 *φησι* Weckl. *ἐστι* **M** || **10** *ξένων* Papag. *ξενοδόκων* **M** || **11** *προσορμῆσαι* M^{pc} *προσορμίσαι* M^{ac} || **14** *ὁμιλίαις* Vict. *ὁμοίαις* **M** || **21** *ὡς* Abr. *ἡ* **M** || **23** post *τῆς ὁδοῦ* dist. Tucker || **29** *Στρόφιος* Mc Mi *Στροφίος* **M**

682. *μηδαμῶς λάθηι*] *μηδαμῶς λάθηι με ἡ βουλὴ τῶν φίλων.*
683 a. ⟨*κομίζειν*⟩] *εἰς τοὺς οἴκους.*
683 b. *φίλων*] *λέγει δὲ τῶν περὶ Αἴγισθον.*
685. ⟨*πόρθμευσον*⟩] *ἀντὶ διακόμισον.*
688. ⟨*τοσαῦτ᾽ ἀκούσας*⟩] *πιθανῶς, ἵνα δοκῆι ὅλως ἀγνοεῖν.*
692. *ὦ δυσπάλαιστε*] *ὦ δυσκαταγώνιστε.*
693 a. *ἐπωπᾶις· ἐφορᾶις πολλὰ τὰ ἡμέτερα ἀτυχήματα.*
693 b. *κἀκποδὼν*] *καὶ τὰ πόρρωθεν καλῶς κείμενα τῶν φίλων, ὅ ἐστι· τὰ ἐπὶ ξένης ἀγαθὰ ἐνδιαιτήματα τοῦ Ὀρέστου τοῖς τόξοις εὐστόχως ἱκνουμένη ἀπογυμνοῖς μοι.*
696—699. ⟨*καὶ νῦν ... ἐγγράφει*⟩] *τὸ ἑξῆς οὕτως τοῦ νοήματος· καὶ πρότερον ἔξω κομίζων ὀλεθρίου πηλοῦ πόδα. ἦν γὰρ εὐβούλως ἔχων Ὀρέστης. ποῖος Ὀρέστης; ἡ τοῖς οἴκοις ἰατικὴ ἐλπὶς τῆς ἀγαθῆς εὐφροσύνης. νῦν δὲ ἀπώλετο.*
696. *καὶ νῦν Ὀρέ(στης)· ἀντὶ τοῦ πρότερον· τὸ γὰρ νῦν δηλοῖ καὶ τὸ παρεληλυθός.*
697. *ἔξω πηλοῦ πόδ(α)· παροιμ(ία).*
698—699. ⟨*ἥπερ ... ἐγγράφει*⟩] *ἡ εὐφροσύνη τῶν βασιλείων οἴχεται.*
699 a. *ἰατρὸς*] *ἡ ἰατρός.*
699 b. *ἐλπὶς*] *τάξον αὐτὴν ἀφανισθεῖσαν †ἄρα† ὡς πρὸς τὸ ἐλπὶς δ᾽ ἀπέδωκεν.*
702—703. ⟨*τί γὰρ ... εὐμενέστερον*⟩] *ἢ τὸ ἀγαθὰ ἀγγεῖλαι· τοῦτο γὰρ φιλίας αἴτιον τοῖς ξένοις γίνεται.*
705. ⟨*καρανῶσαι*⟩] *κεφαλαιῶσαι, εἰπεῖν.*
707. ⟨*ἀξίως σέθεν*⟩] *τῶν σοὶ ἀξίων τιμῶν.*
709. ⟨*ἄλλος δ᾽ ὁμοίως*⟩] *εἰ καὶ μὴ σὺ ἤγγειλας.*
710. ⟨*ἡμερεύοντας*⟩] *δι᾽ ἡμέρας καμόντας.*
712. ⟨*ἄγ᾽*⟩] *πρὸς παρόντα τινά.*
715 a. ⟨*αἰνῶ*⟩] *συμβουλεύω σοι ταῦτα πράσσειν ὡς δώσοντι δίκην, ἤν τι παρὰ τὸ δέον ποιήσηις.*
715 b. *ἐπευθύνωι*] *ὑποδίκωι.*
720. ⟨*πότε*⟩] *πότε ἐπευξόμεθα.*

15—16 Eust. 1840, 1 E. M. 608, 50 Et. Gud. 412, 36 St.

1—3 sch. 682 et 683 b separ. Papag. cont. **M** || **4** *διακόμισον* Abr. *διακόνησον* **M** || **10** *ἱκνουμένη* Davies *κινουμένη* **M** || **12** *ὀλεθρίου* Rob. *ὀλέθρου* **M** || **17** C. P. G. I 72, 4 || **20** *αὐτὸν ἀφανισθέντα* Weckl. | *ἄρα* M^{pc} *ἀρά* M^{ac} *ὦ ἀρά* Th. *ἀρᾶι* Weckl. cf. Class. et Med. 30, 51

722a. ⟨ὦ πότνια χθὼν⟩] ὦ προφιλὴς καὶ τιμία ἡμῖν.
722b. ⟨ἀκτὴ⟩] ἡ ἀκτὴ τοῦ τάφου.
726. ⟨νῦν γὰρ ἀκμάζει⟩] νῦν καιρὸν ἔχει ἡ δολία πειθὼ συναγωνίσασθαι τῶι Ὀρέστηι.
727a. ⟨ἐφοδεῦσαι⟩] συνάρασθαι πρὸς τὴν ὁδόν. 5
727b. ⟨ἐφοδεῦσαι⟩] ἀπὸ κοινοῦ τὸ ν ῦ ν ἀ κ μ ά ζ ε ι.
730a. ⟨ὁ ξένος⟩] ξένον τὸν Ὀρέστην καλεῖ, ἵνα δόξωσιν ἀγνοεῖν τὸ σκευώρημα.
730b. ⟨τεύχειν κακόν⟩] ἀντὶ τοῦ πεποιηκέναι πένθος τῶι οἴκωι διὰ τῆς ἀγγελίας. 10
733. ⟨ἄμισθος⟩] κακόμισθος· δάκρυα γὰρ προξενεῖ. Κίλισσαν δέ φησι τὴν Ὀρέστου τροφόν, Πίνδ(αρος) δὲ Ἀρσινόην, Στησίχο(ρος) Λαοδάμειαν.
734. ⟨ἡ κρατοῦσα⟩] ἡ τοὺς ξένους κρατοῦσα καὶ ὑποδεξαμένη Αἴγισθον καλεῖν ἐκέλευσεν.
736. ⟨νεάγγελτον⟩] τὴν ⟨νεωστὶ⟩ ἀγγελθεῖσαν. 15
740. ⟨παγκάκως⟩] ἀντὶ κακῶς ⟨ὁ⟩ οἶκος διάκειται ὑπὸ τῆς φήμης ἧς ἤγγειλαν οἱ ξένοι σαφῶς.
741. τορῶς] σαφῶς.
742. ⟨ἦ⟩] ἀντὶ ὄντως.
744a. ὡς] λίαν. 20
744b. ⟨τὰ μὲν παλαιὰ⟩] ἡ κρεουργία τῶν Θυέστου παίδων καὶ ὁ Ἀγαμέμνονος θάνατος.
747. ⟨τοιόνδε⟩] οἷον ἐπὶ τῆι τοῦ Ὀρέστου ἀγγελίαι νῦν.
748. ⟨τλημόνως ἤντλουν⟩] καρτερικῶς ὑπέφερον.
749. ⟨τριβήν⟩] τὸν συντρίψαντά μου ταῖς ἐπιμελείαις τὴν ψυχήν. 25
750. ⟨ὃν ἐξέθρεψα⟩] ὃν ἐξέθρεψα οὐ μόνον δι' ἡμέρας, ἀλλὰ καὶ διὰ νυκτῶν.
751. κελευμάτων] κελεύουσι γὰρ τῶι κλαίειν οἱ παῖδες.
752. ⟨ἀνωφέλητα⟩] ἀνωφέλητα ἐμοὶ τῆι τλάσηι καὶ πολλὰ ⟨καὶ⟩ μοχθηρά. 30
754. ⟨τρέφειν ἀνάγκη⟩] ἀνάγκη τρέφειν ἐπιμελείαι ψυχῆς· πῶς γὰρ οὔ;
755. ⟨οὐ γάρ⟩] ἀλλ' ἀνάγκην διὰ δακρύων ἐπέφερεν.

12 sch. Pind. Pyth. XI 25b

5 ad 727 adscr. M^{pc} ad 726 adscr. M^{ac} || 8 σκευώρημα Paley σκαιώρημα M || 12 Pind. Pyth. XI 17 | Stesich. fr. 41 P. || 15 add. Mi || 16 add. Mi || 21 ὁ τοῦ Vict. || 26—30 sch. 750 et 752 separ. Tucker cont. M || 28 κλαίειν Abr. καλεῖν M || 29 add. Vict. || 32 ἀνάγκην Mc ἀνάγκειν M

757. ⟨*αὐτάρκης*⟩] *ἡ γὰρ νέα νηδὺς τῶν τέκνων ἑαυτῆι ἀρκεῖν καὶ βοηθεῖν βούλεται, ὅ ἐστιν ἀνύειν βούλεται τὰς ἐπιθυμίας.*
759. ⟨*ψευσθεῖσα*⟩] *ἀπὸ κοινοῦ τὸ ἐξέθρεψα.*
761. *χειρωναξίας· τὰς διὰ χειρῶν ἐργασίας.*
5 **762.** ⟨*ἐξεδεξάμην*⟩] *ἀντὶ ἔθρεψα, ἀπέσωσα.*
766. ⟨*ἐσταλμένον*⟩] *ἠσκημένον, παρεσκευασμένον.*
770. ⟨*στυγεῖ*⟩] *τῶι μισουμένωι ὑπ' Ἀγαμέμνονος.*
774a. ⟨*ἦ*⟩] *ὄντως.*
774b. ⟨*φρονεῖς εὖ*⟩] *χαίρεις.*
10 **775.** ⟨*τροπαίαν*⟩] *μετατροπήν.*
777. ⟨*οὔπω ... τάδε*⟩] *τοῦτο ἀκριβοῦς ἐστι μάντεως εἰπεῖν. τινὲς στίζουσιν εἰς τὸ οὔπω, ἵν' ἦι· οὔπω ἐλπὶς οἴχεται δόμων· ταῦτα δὲ καὶ ὁ τυχὼν μάντις γνοίη.*
778. ⟨*λελεγμένων δίχα*⟩] *ἀντὶ παρὰ τὰ εἰρημένα περὶ Ὀρέστου.*
15 **783.** ⟨*παραιτουμέναι*⟩] *πλεονάζει ἡ παρά· ἢ παρὰ σοῦ αἰτουμένηι.*
785—786. ⟨*δὸς ... κυρίως*⟩] *δός μοι εὐτυχίαν εὐτυχῆσαι βεβαίως.*
787a. ⟨*διὰ δίκας*⟩] *δικαίως.*
787b. ⟨*διὰ δίκας*⟩] *κατὰ δίκαν, ὅ ἐστι κατὰ τὸ δίκαιον.*
791—793. ⟨*θές ... ἀμείψηι*⟩] *ἐπάρας γὰρ τὸν Ὀρέστην δυνήσηι καὶ*
20 *τριπλασίονα ποινὴν εἰσπράξασθαι τὸν Ὀρέστην ποιῆσαι.*
791. *θές*] *τὸν Ὀρέστην.*
792. *τριπλᾶ*] *διπλάσια καὶ τριπλάσια.*
794a. *ἴσθι*] *γίγνωσκε.*
794b. *ἀνδρὸς*] *τοῦ Ἀγαμέμνονος.*
25 **794c.** ⟨*πῶλον*⟩] *τὸν Ὀρέστην.*
796. ⟨*δρόμωι*⟩] *ἐνέμεινε τῆι μεταφορᾶι. φήσας γὰρ ἐν ἅρμασι πημάτων τὸ δρόμωι ἐπήγαγεν.*
797a. *ῥυθμὸν δάπεδον· ἀντὶ εὔτακτον καὶ μὴ τραχεῖαν πορείαν.*
797b. *μέτρον*] *τέλος αὐτῶι προστιθεὶς τῶν κακῶν.*
30 **798a.** *ἰδεῖν*] *ἀντὶ τοῦ ἴδοι. τὸ δὲ ἑξῆς· ἴδοι δέ τις σωζόμενον αὐτῶι τὸν ῥυθμὸν τοῦ δρόμου· μηδὲ ὑπερδραμὼν ἐν τῶι δαπέδωι διαρρήξηι τὸν χαλινόν.*

15 sch. Ar. Eq. 37f sch. Pind. Nem. X 55 || **sch. 799** Hesych. *ὄρεγμα· βῆμα, ὅρμημα, ἅλμα*

9 huc trax. Herm. ad 772 adscr. M || 11—13 cont. Oberdick *τοῦτο ... εἰπεῖν* et *τινὲς ... γνοίη* separ. M || 15 *παρά*[1] M^{pc} *παρά σου* M^{ac} | *ἢ* Dd. *ἡ* M || 27 *τὸ* M^{ac} *τῶι* M^{pc} || 31 *διαρρήξηι* M^{ac} *διαρρήξει* M^{pc}

798b. *ἰδεῖν] λείπει τὸ ὅπως· καὶ τὸ ἰδεῖν ἀντὶ τοῦ ἴδοι. ὁ δὲ νοῦς· ὅπως ἄν τις τοῦτο ἴδοι σωζόμενον τὸν ῥυθμὸν ὁμαλὸν καὶ εὔτακτον κατὰ τὸν δρόμον τῶν ἀνυομένων βημάτων.*
801. *νομίζετε] ἡνιοχεῖτε καὶ διοικεῖτε.*
806. *⟨γέρων ... τέκοι⟩] Ἀγαμέμνονος ὁ παλαιὸς φόνος μὴ συγχωρήσηι* 5 *φόνον τῶι Ὀρέστηι τεχθῆναι διὰ τὸν φόνον Αἰγίσθου.*
807a. *⟨τόδε καλῶς⟩] διὰ τοῦτο τὸ καλῶς ἀναιρεθησόμενον· λέγει δὲ τὸ αἷμα τοῦ Αἰγίσθου.*
807b. *ὦ] ὦ Ἅιδη.*
808. *ἀνιδεῖν] ἀναβλέψαι.* 10
810. *⟨ἰδεῖν⟩] ἀπὸ κοινοῦ τὸ δός.*
811. *⟨δνοφερᾶς καλύπτρας⟩] τοῦ σκότους.*
813. *ἐπιφορώτατος] ὡς ἐπὶ ἀνέμου εἶπεν ἀντὶ τοῦ ὁ λογικώτατος.*
815a. *⟨φανεῖ⟩] τὰ δὲ κρυπτὰ νῦν φανερώσει.*
815b. *⟨χρήιζων⟩] θέλων πολλὰ κρυπτὰ εὑρίσκει.* 15
816a. *ἄσκοπον] ἀδιάσκοπός ἐστιν ὁ λόγος, τουτέστιν ὁ Ἑρμῆς. ἀδιάγνωστός ἐστιν· νύκτα γὰρ καὶ σκότον πρὸ τοῦ προσώπου φέρει.*
816b. *⟨ἄσκοπον⟩] ἀπροφύλακτον.*
816c. *⟨ἔπος⟩] τὸν Ἑρμῆν δέ φησιν· λόγος γάρ ἐστιν.*
819—824. *⟨καὶ ... τάδ' εὖ⟩] καὶ τότε δὴ τὸν πλοῦτον τῶν δωμάτων* 20 *ἐλεύθερον τῆι πόλει μεθήσομεν· ὁμοῦ τε μεθήσομεν τὸν κρεκτὸν γοήτων νόμον, ὅ ἐστι, καὶ τῶν ἀγαθῶν τῆι πόλει μεταδώσομεν καὶ τὸν Ἀγαμέμνονα ἀκινδύνως θρηνήσομεν.*
819. *⟨καὶ τότε⟩] ὅταν ἀπαλλαγῶμεν.*
820. *λυτήριον] ἐλεύθερον· νῦν γὰρ ὑπὸ τυράννων ἀποκέκλεισται.* 25
821a. *θῆλυν] γεννητικόν.*
821b. *οὐριοστάταν] οὐρίως σταθέντα.*
822. *⟨νόμον⟩] τὸν τῶν γοήτων οἷον ἄιδουσι περιιόντες τὴν πόλιν.*
824—826. *⟨τάδ' εὖ⟩] τὰ καλῶς ἀποβαίνοντα τὸ ἐμὸν κέρδος ἐστίν, τῶν δὲ περὶ Ὀρέστην καὶ Ἠλέκτραν ἀπαλλαγὴ ἄτης.* 30
827—829a. *⟨σὺ δὲ ... αὐδάν⟩] σὺ δὲ θαρρῶν ἐμοὶ τέκνον θροούσηι πρὸς σὲ πατρὸς αὐδάν, ὅ ἐστιν, ὡσανεὶ πατὴρ συμβουλεύοι σοι,*

19 Et. Gen. (= E. M. 376, 30) sch. Tz. Ar. Plut. 1159a

3 *βημάτων* Th. *πημάτων* **M** || 4 cf. Th. Class. Quart. 17, 1968, 242sqq. || 5 *ὁ* Rob. *δὲ* **M** || 22 *νόμον* Pauw *νόμων* **M** || 28 *οἷον* Vitelli *οἷ ὡς* **M** | *περιιόντες* Vict. *παριόντες* **M** | *κατὰ τὴν πόλιν* Blomf. sed incertum de quo ritu dixerit scholiastes cf. Burkert, Rh. M. 105, 1952, 50 cum adn. || 32 *συμβουλεύοι σοι* Weckl. *συμβουλευούσηι* **M**

ὅταν ἥκηι καιρός, ἔργωι ἐπιβαλοῦ ἐπικαλεσάμενος τὸ εἴδωλον τοῦ πατρός.

827—829b. ⟨*σὺ δὲ ··· αὐδάν*⟩] *πρόσεχε δὲ κἀμοὶ συμβουλευούσηι σοι οἷα ἂν πατήρ. τὸ δὲ ἐπαύσας πατρὸς ἔργωι ἀντὶ τοῦ ἐπικαλεσά-* 5 *μενος τὸ εἴδωλον τοῦ πατρός.*

827a. ⟨*σὺ δέ*⟩] *ὦ Ὀρέστα.*

827b. ⟨*μέρος ἔργων*⟩] *ὁ καιρὸς τοῦ ἔργου.*

827c. ⟨*μέρος ἔργων*⟩] *λείπει ἐπιβαλοῦ.*

828. ⟨*ἐπαύσας*⟩] *ἐπικαλεσάμενος.*

10 **830—832.** ⟨*περαίνων ... ἄταν*⟩] *κατεργασάμενος τὴν πολλῶν μέμψεων ἀξίαν ἄτην, ὅ ἐστι, τὸν Αἴγισθον καὶ τὴν Κλυταιμήστραν. Περσέως δὲ ἀντὶ τοῦ πορθητοῦ, ἢ ἐπεὶ ἀπεστραμμένος ἐκαρατόμησε Μέδουσαν· ἀποστραφείς, φησίν, ὡς ἐκεῖνος μήπως θεώμενος αἰδεσθῆις τὴν μητέρα.*

15 **835—836.** ⟨*ἔνδοθεν ... τιθείς*⟩] *τὴν ἔνδον ἐπὶ τῆς οἰκίας φονίαν ἄτην καταβαλών, ὅ ἐστι τὴν Κλυταιμήστραν.*

835. ⟨*ἔνδοθεν*⟩] *ἐν τῆι ψυχῆι.*

836. ⟨*τὸν αἴτιον*⟩] *τὸν Αἴγισθον.*

841. ⟨*μόρον γ' Ὀρέστου*⟩] *ὑπούλως ταῦτά φησι.*

20 **842a.** ⟨*αἱματοσταγὲς*⟩] *ὡς ἐπὶ μαχαίρας.*

842b. ⟨*φόνωι*⟩] *τῶι τοῦ Ἀγαμέμνονος.*

843a. ⟨*ἑλκαίνοντι*⟩] *ἐν γὰρ τοῖς θρήνοις ἀμύσσουσιν αὐτῶν τὰ στήθη.*

843b. ⟨*δεδηγμένωι*⟩] *οὐ παρακαλυφθέντι, ἀλλ' ἀειμνήστωι.*

846. ⟨*μάτην*⟩] *οὐκ ἀληθῶς ἀποθανόντες.*

25 **849.** ⟨*οὐδὲν ... σθένος*⟩] *οὐ τοσοῦτον ἰσχύει εἰπεῖν ἄγγελος ὡς ὁ αὐτόπτης.*

854. ⟨*ὠμματωμένην*⟩] *τὴν συνετήν μου φρένα.*

855. ⟨*Ζεῦ Ζεῦ*⟩] *ταῦτά φησιν ὁ χορὸς εἰσελθόντος τοῦ Αἰγίσθου.*

858. ⟨*ἴσον*⟩] *τὸ ἀληθές.*

30 **860a.** *πειραί· αἱ ἀκμαὶ τῶν ξιφῶν παρὰ τὸ πείρειν. κοπάνων δὲ τῶν κοπτικῶν ξιφῶν.*

860b. *κοπάνων*] *τῶν συγκοπῶν.*

863. ⟨*πῦρ*⟩] *πῦρ δαΐδων.*

1 *ἔργωι* **Mi Mb** *ἔργων* **M** ‖ **9** *ἐπικαλεσάμενος* Papag. *ἐπι* **M** ‖ **13** *αἰδεσθῆις* **M**[pc] *αἰδεσθεις* **M**[ac] ‖ **16** *καταβάλλων* Abr. ‖ **17** ad 831 trax. Heims. fort. recte ‖ **20—23** sch. 842a, 843a, 843b separ. Smith post Tucker ad 842 cont. **M** hoc ordine 842a, 843b, 843a. cf. Class. et Med. 30, 51 ‖ **22** *αὑτῶν* Vict. *αὐτῶν* **M** ‖ **30** *πειραί* **Mi** *παιραί* **M**

870. ⟨*ἔα ἔα μάλα*⟩] *φωνῆς ἀκούουσιν ἀναιρομένου τοῦ Αἰγίσθου.*
878. ⟨*πύλας*⟩] *τὰς τῆς Κλυταιμήστρας.*
879. ⟨*ἡβῶντος δὲ δεῖ*⟩] *ἡβῶντος ἀνδρὸς δεῖ εἰς τὸ χαλάσαι τὰς πύλας.*
880. ⟨*διαπεπραγμένωι*⟩] *τῶι σφαγέντι.*
886. ⟨*τὸν ζῶντα ... λέγω*⟩] *ἀντὶ ὁ τῶι λόγωι τεθνηκὼς Ὀρέστης* 5
ἀπέκτεινε τὸν ζῶντα Αἴγισθον.
893. ⟨*Αἰγίσθου βία*⟩] *ἀντὶ τοῦ ὦ Αἴγισθε.*
898. *οὖλοισι· τὸ οὖλον.*
899. *μετεσκεύασται ὁ ἐξάγγελος εἰς Πυλάδην ἵνα μὴ δ' λέγωσιν.*
901. ⟨*εὐορκώματα*⟩] *τὰ ὁρκωμόσια ἃ συνωμόσαμεν.* 10
902. ⟨*ἅπαντας ... πλέον*⟩] *πλέον λέγε πάντας ἀνθρώπους ἔχειν* ⟨*ἢ*⟩
τοὺς θεοὺς ἐχθρούς.
904. ⟨*πρὸς αὐτὸν*⟩] *πρὸς αὐτὸν τὸν Αἴγισθον. πιθανῶς δὲ ἵνα μὴ ἐν*
φανερῶι ἡ ἀναίρεσις γένηται.
908. *γηράναι· ἀπὸ τοῦ γήρημι.* 15
914. *οὔτοι*] *οὐκ ἔστιν ἀπορρίψαι τὸ δορυξένοις ἐκδοῦναι πρὸς ἀνα-*
τροφήν.
917 a. ⟨*σου*⟩] *ἑτέρωι συγκοιμωμένης.*
917 b. ⟨*τοῦτ'*⟩] *τὸν Αἴγισθόν φησιν.*
918. ⟨*εἶφ'*⟩] *ὅτι Κασάνδραν ἐπέγημεν.* 20
919. ⟨*μὴ ἔλεγχε*⟩] *ἄνδρα ἐν πολέμοις πονοῦντα μὴ θέλε κρίνειν γυνὴ*
οὖσα.
924. ⟨*κύνας*⟩] *τὰς Ἐρινύας.*
926. ⟨*πρὸς τύμβον*⟩] *ὅτι μέλλω τελευτᾶν· παροιμ(ίαν) εἶναι τοῦτό*
φασι πρὸς τύμβον κλαίειν, ἤγουν πρὸς ἄνδρα νήπιον. 25
931. ⟨*στένω*⟩] *εὐγνωμόνως ἐλεοῦσι τοὺς περὶ Αἴγισθον.*
932 a. *ἐπήκρισεν*] *ἐπ' ἄκρον ἦλθεν.*
938. ⟨*διπλοῦς λέων*⟩] *οἱ περὶ Ὀρέστην καὶ Πυλάδην.*
939. ⟨*ἐς τὸ πᾶν*⟩] *ἤλασεν δὲ εἰς τὸ τέλος τοῦ δρόμου, ὅ ἐστιν ἤνυσε*
τὸν ἀγῶνα. ἀφίκετο, φησί, εἰς τὸ τέλος τοῦ ἀγῶνος. 30
940. ⟨*πυθόχρηστος*⟩] *ὁ ὑπὸ Πυθοῦς χρησθεὶς Ὀρέστης.*

15 cf. Eust. 1490, 35 Hrd. II 266, 1 (Et. Gen. = E. M. 230, 50) || **sch. 932 b** Hesych. *ἐπήκρισεν· ἐπ' ἄκρον ἤγαγεν, τέλος ἐπέθηκεν* cf. Eust. 1636, 49 Erbse ad Paus. att. fr. *α* 55

11 add. Heath || 18—22 sch. 917 a et 919 separ. Tucker cont. **M** || 18 *συγκοιμωμένης* Tucker *συγκοιμωμένη* **M** || 25 *τύμβον* **Mi** *τύμβου* **M** | *ἤγουν* Blomf. *καὶ* **M** | C. P. G. I 297, 12

942—943. ⟨*δόμων ἀναφυγὰς κακῶν*⟩] *ὡς τῶν οἴκων φυγόντων τὰς συντριβὰς* [*τῶν οἴκων*].

945a. *δυσοίμου· δυσπορεύτου. τὸ δὲ ἑξῆς· τὰς ἀναφυγὰς τῶν κακῶν τὰς ἀπὸ τῆς δυσοίμου τύχης.*

5 **946.** *ἔμολε*] *τῶι Αἰγίσθωι ἔμολεν ἡ ποινὴ τῶι ἀποκτείναντι δόλωι τὸν Ἀγαμέμνονα.*

948. *ἔθιγε*] *ἡ δὲ Διὸς θυγάτηρ ἡ Δίκη παρέστη ἐν τῆι πρὸς Αἴγισθον μάχηι καὶ ἐφήψατο τοῦ ξίφους· δικαίως γὰρ Ὀρέστης ἠμύνατο.*

952. *τὸ ἑξῆς· ἔμολεν ὀλέθριον πνέουσα.*

10 **953.** ⟨*τάπερ*⟩] *ἀντὶ τοῦ καθάπερ.*

955—956. ⟨*δολίας ... ἐποίχεται*⟩] *τὴν Κλυταιμήστραν τὴν δολίως βλάπτουσαν καὶ ἐπὶ πολὺν χρόνον τὸν οἶκον ἐποίχεται ἡ δίκη·* ⟨*ἢ*⟩ *ἐπεξῆλθε τὴν δίκην βλαπτομένην ἐκ πολλοῦ Ὀρέστης.*

958. ⟨*κρατεῖται*⟩] *συμβάλλεται οὖν τὸ θεῖον τοῖς μὴ ὑπουργοῦσι τοῖς*
15 *κακοῖς.*

960. ⟨*ἀρχὰν*⟩] *τοὺς θεοὺς ἢ τὸν Δία.*

962. *ψάλιον*] *τὸν χαλινόν.*

965—967. ⟨*παντελὴς ... ἐλάσηι*⟩] *ὁ πάντα τελῶν χρόνος τὰ πρόθυρα τῶν οἴκων ἀλλάξει ἀπὸ κατηφείας εἰς λαμπρότητα.*

20 **965.** *ἀμείψεται*] *ἀλλαγήσεται· οὐχ ὁμοίως ἔσται τοῖς πρώην ἐν τῶι οἴκωι ἡμῶν.*

968a. *ἐλατήριον*] *τὸ ἐλαῦνον τοὺς ἀσεβεῖς ἢ τὸ ἀπελαθῆναι ὀφεῖλον.*

968b. *ἐλατήριον* [*δὲ*] *τὸ καθαρτικὸν φάρμακον.*

969. ⟨*τύχαι*⟩] *ἡ δὲ τύχη νῦν ἐν εὐόπτωι κοίτηι, τουτέστιν ἐν ἀγαθῆι*
25 *καταστάσει πρὸς τὸ ἰδεῖν τὰ νῦν γεγονότα καὶ ἑτέρων λεγόντων ἀκοῦσαι.*

970. ⟨*ἰδεῖν*⟩] *λείπει τὸ ἐστίν.*

971. ⟨*μέτοικοι ... πάλιν*⟩] *οἱ νῦν τοὺς δόμους οἰκοῦντες πεσοῦνται εἰς τὸ ἔμπαλιν τῆς πρώτης τύχης· τοῦτο δὲ ἀπὸ τῶν κύβων μετήγαγεν.*

30 **973.** *ἀνοίγεται ἡ σκηνὴ καὶ ἐπὶ ἐκκυκλήματος ὁρᾶται τὰ σώματα ἃ λέγει διπλῆν τυραννίδα.*

sch. 945b Hesych. *δύσοιμος· ἐπὶ κακῶι ἤκουσα ἢ δύσοδος* || 23 Hesych. *ἐλατήριον· φάρμακον καθαρτικόν*

2 del. **Mi** *τῶν κτημάτων* Weckl. || 7 *παρέστη* Abr. *πάρεστι* **M** || 12 add. Smith || 14 *συμβάλλεται* **MiMc** *συμβάλεται* **M** || 22—23 sch. 968a et 968b separ. Smith cont. **M** cf. Class. et Med. 30, 53 || 23 del. Smith || 30 *ἐκκυκλήματος* Dd. *ἐγκυκλήματος* **M**

978. *ξυνώμοσαν· θάνατον τῶι πατρί.*
981. *⟨δεσμὸν⟩] τὸν πέπλον.*
983. *⟨ἐκτείνατ'⟩] πρὸς τὸν χορόν.*
987a. *⟨μοι⟩] ἡ μοι ἀντωνυ(μία) τὴν οἰκειότητα δηλοῖ.*
987b. *⟨ἐν δίκηι⟩] ἐν τῆι κρίσει τῶν Ἐρινύων.* 5
989. *⟨Αἰγίσθου ... μόρον⟩] Αἰγίσθου γὰρ οὐ λέγω μόρον, μητρὸς δέ, ἥτις ἐπ' ἀνδρὶ τοῦτ' ἐμήσατο στύγος.*
992. *⟨βάρος⟩] τὸ βάρος φίλον πρώην.*
995. *⟨θιγοῦσαν⟩] ὑπερβολή, ὅτι καὶ τὸν μὴ δηχθέντα ἀλλὰ μόνον ἀψάμενον σήπει.* 10
997. *⟨τύχω⟩] ἀντὶ ἐπιτύχω εὐθίκτως κακολογήσας.*
998. *⟨ἄγρευμα⟩] δίκτυον.*
999. *⟨κατασκήνωμα⟩] παραπέτασμα σοροῦ.*
1000. *⟨ποδιστῆρας⟩] τοὺς πλέον τῶν ποδῶν καθήκοντας.*
1002. *ἀπαιόλημα] ἀπάτημα.* 15
1009. *⟨μίμνοντι⟩] τῶι τοιαῦτα πράξαντι χρόνωι πάθος ἀνθεῖ.*
1012. *⟨φόνου⟩] τοῦ αἵματος.*
1013. *⟨φθείρουσα⟩] ὡς πολυτελοῦς ὄντος τοῦ ἱματίου καὶ ἠφανισμένου τῶι αἵματι.*
1019a. *⟨διὰ⟩] ἡ διὰ πρὸς τὸ ἀμείψεται.* 20
1019b. *ἄτιμος· ἀτιμώρητος.*
1021. *⟨ὅπη τελεῖ⟩] εἰς τί ἀποβαίνει τὰ κατ' ἐμέ;*
1024. *⟨δύσαρκτοι⟩] δυσχερῶς ἀρχόμεναι καὶ πειθόμεναι.*
1028. *⟨μίασμα⟩] τὴν μητέρα.*
1029—1030. *⟨φίλτρα ... χρήσαντ' ἐμοί⟩] καὶ τὰς ἐπιθυμίας τῆς τόλμης φημὶ τὸν Ἀπόλλωνα χρῆσαί μοι.* 25
1029. *πλειστηρίζομαι] καυχῶμαι.*
1033. *⟨οὔτις ... ἐφίξεται⟩] τοσαύτη γάρ ἐστιν ὡς μηδὲ τοξότην ἐφικέσθαι τοῦ μήκους.*
1037. *⟨τόδ'⟩] τὸ ἐν Παρνασσῶι.* 30
1064. *εὐκαίροις] συντυχίαις.*
1067a. *γονίας· ἄνεμος ὅταν ἐξ εὐδίας κινηθῆι χαλεπὸν πνεῦμα.*

15 Hesych. *ἀπαιόλημα· ἀποκάθαρμα ἢ ἀπάτημα* || **sch. 1067b** Hesych. *γονίας· εὐχερής. Αἰσχύλος Ἀγαμέμνονι* cf. Mette ad fr. 202

13 *σοροῦ* Stanley *ὄρους* **M** || 23 *ἀρχόμεναι καὶ πειθόμεναι* Steph. *ἀρχόμενοι καὶ πειθόμενοι* **M** || 25 *καὶ* **Mi** *καν* **M** || 28 *τοξότην* Vict. *τοξότηι* **M**

SCHOLIA VETERA IN EVMENIDES

Ἀριστοφ(άνους) γρ(αμματικοῦ) ἡ ὑπόθεσις

Ὀρέστης ἐν Δελφοῖς περιεχόμενος ὑπὸ τῶν Ἐρινύων βουλῆι Ἀπόλλωνος παρεγένετο εἰς Ἀθήνας εἰς τὸ ἱερὸν τῆς Ἀθηνᾶς· ἧς βουλῆι νικήσας 5 *κατῆλθεν εἰς Ἄργος. τὰς δὲ Ἐρινύας πραΰνασα προσηγόρευσεν Εὐμενίδας. παρ' οὐδετέρωι κεῖται ἡ μυθοποιία.*

τὰ τοῦ δράματος πρόσωπα· Πυθιὰς προφῆτις, Ἀπόλλων, Ὀρέστης, Κλυταιμήστρας εἴδωλον, χορὸς Εὐμενίδων, Ἀθηνᾶ, προπομποί. MGFE

10 **1 a.** *φαίνεται ἐπὶ σκηνῆς τὸ μαντεῖον, ἡ δὲ προφῆτις πρόεισιν ἐπικλήσεις ὡς ἔθος τῶν θεῶν ποιησομένη· ἀπροόπτως δὲ ἰδοῦσα τὰς Ἐρινύας κύκλωι τοῦ Ὀρέστου καθευδούσας πάντα μηνύει τοῖς θεαταῖς, οὐχ ὡς διηγουμένη τὰ ὑπὸ τὴν σκηνήν — τοῦτο γὰρ νεωτερικὸν ⟨καὶ⟩ Εὐριπίδειον — ὑπὸ δὲ τῆς ἐκπλήξεως τὰ θορυβήσαντα αὐτὴν κατα-* 15 *μηνύουσα φιλοτέχνως. τὰ δὲ πρῶτα εὐχαὶ καὶ ἐπικλήσεις θεῶν, ἵνα ἀπὸ τῶν εὐφημοτέρων ἄρξηται ἡ προφῆτις. οἰκονομικῶς δὲ οὐκ ἐν ἀρχῆι διώκεται Ὀρέστης, ἀλλὰ τοῦτο ἐν μέσωι τοῦ δράματος κατατάττει, ταμιευόμενος τὰ ἀκμαιότατα ἐν μέσωι.* M

1 b. *φαίνεται ἐπὶ σκηνῆς τὸ μαντεῖον, ἡ δὲ προφῆτις πρόεισιν ἐπί-* 20 *κλησιν ὡς ἔθος τῶν θεῶν ποιησαμένη· ἀπροόπτως δὲ ἰδοῦσα τὰς Ἐριννύας κύκλωι τοῦ Ὀρέστου καθευδούσας πάντα μηνύει τοῖς θεαταῖς, οὐχ ὡς διηγουμένη τὰ ὑπὸ τὴν σκηνήν — τοῦτο γὰρ νεωτερικὸν καὶ Εὐριπίδειον — ὑπὸ δὲ τῆς ἐκπλήξεως τὰ θορυβήσαντα αὐτὴν καταμηνύουσα φιλοτέχνως. τὰ δὲ πρῶτα εὐχαὶ καὶ ἐπικλήσεις θεῶν, ἵνα* 25 *ἀπὸ τῶν εὐφημοτέρων ἄρξηται ἡ προφῆτις.* E

2 ante hypothesin + *ἀρχὴν δὲ λοιπὸν τῶν Εὐμενίδων βλέπε* **GFE** | *Ἀριστοφάνους ... ὑπόθεσις* om. **GFE** || 4 *παραγίνεται* **E** || 5 *πραΰνασα* Harpocr. *Εὐμενίδες πραΰνας* **M** *πραϋνούσας* **GFE** || 10—18 huc trax. Herm. post sch. 5 **M**ac ima pagina uu. 1 – 48 continente **M**pc || 11 *δὲ* sch. 1 b *τε* **M** || 13—14 *καὶ Εὐριπίδειον* sch. 1 b *Εὐριπίδιον* **M** || 19—25 huc trax. Smith coll. sch. 1 a ad 30 adscr. **E** || 21 *Ἐριvv-* sic semper **E**; non amplius notatur | *κύκλωι* sch. 1 a *κύκλον* **E** || 23 *θορυβήσαντα* sch. 1 a *θορυβήσοντα* **E**

1c. *πρεσβεύω*] *προτιμῶ.* M
3a. *μητρὸς*] *ἢ τῆς κοινῆς μητρὸς πάντων Γῆς ἢ τῆς Θέμιδος, ἥτις ὀπτήριον θεασαμένη τὸν τῆς ἀδελφῆς αὐτῆς Λητοῦς παῖδα δέδωκε συγγενικὴν δόσιν. ἀπόδειξις δὲ αὕτη τῆς δωρεᾶς οὐκ ἀχάριστος.* E
3b. *⟨μητρὸς⟩*] *ἢ τῆς κοινῆς μητρὸς πάντων ἢ τῆς Θέμιδος.* M 5
5a. *λάχει*] *κλήρωι.* M
5b. *⟨πρὸς βίαν⟩*] *Πίνδαρός φησι πρὸς βίαν κρατῆσαι Πυθοῦς τὸν Ἀπόλλωνα· διὸ καὶ ταρταρῶσαι αὐτὸν ἐζήτει ἡ Γῆ.* M
7. *⟨δίδωσι⟩*] *ἀντὶ ὀπτήριον. θεασαμένη ⟨γὰρ⟩ τὸν τῆς ἀδελφῆς ἑαυτῆς Λητοῦς παῖδα δέδωκε συγγενικὴν δόσιν.* M 10
8. *⟨παρώνυμον⟩*] *ἀπόδειξις αὕτη τῆς δωρεᾶς οὐκ ἀχάριστος.* M
9a. *⟨λίμνην⟩*] *τὴν στρογγύλην.* M
9b. *⟨χοιράδα⟩*] *τὴν Κύνθον. διὰ δὲ τοῦ χοιράδα σχεδὸν τὴν αἰτίαν φησὶ δι' ἣν ἀπέλιπεν Ἀπόλλων, ἐκκλίνων τὸ εὐτελὲς τοῦ χωρίου.* M
11. *ἐς τήνδε*] *χαριζόμενος Ἀθηναίοις καταχθῆναί φησι ἐκεῖσε Ἀπόλλωνα κἀκεῖθεν τὴν παραπομπὴν αὐτῶι εἶναι· ὁ δὲ Πίνδ(αρος) ἐκ Τανάγρας τῆς Βοιωτίας.* M 15
12. *πέμπουσι*] *Θησεὺς τὴν ὁδὸν ἐκάθηρε τῶν λῃστῶν· καὶ ὅταν πέμπωσιν εἰς Δελφοὺς θεωρίδα, προέρχονται ἔχοντες πελέκεις ὡς διημερώσοντες τὴν γῆν.* E 20
13. *κελευθοποιοὶ*] *οἱ Ἀθηναῖοι. Θησεὺς γὰρ τὴν ὁδὸν ἐκάθηρε τῶν λῃστῶν. καὶ ὅταν πέμπωσιν εἰς Δελφοὺς θεωρίδα, προέρχονταί τινες ἔχοντες πελέκεις ὡς διημερώσοντες τὴν γῆν.* M
16a. *⟨Δελφός⟩*] *καὶ ὁ Δελφός [λεώς], ὅς ἐστι τῆς χώρας ἄναξ καὶ κυβερνήτης.* M 25
16b. *⟨Δελφός⟩*] *Ἐπαφρόδιτος ἐν ὑπομνήματι Καλλιμάχου αἰτίων β' φησί· Μελανθοῦς τῆς Δευκαλίωνος καὶ Κηφισοῦ τοῦ ποταμοῦ γίνεται Μέλαινα τοὔνομα, Μελαίνης δὲ καὶ Ποσειδῶνος Δελφός, ἀφ' οὗ οἱ Δελφοί.* M
17. *κτίσας· ποιήσας. ἰδίωμα δὲ τοῦτο Αἰσχύλου.* M 30

24—29 cf. Pfeiffer ad Call. fr. 52

2 *Γῆς* sch. T 3 *πηγῆς* **E** || **7—8** sch. 5b et 16b separ. Stanley cont. ad 1 adscr. **M**, huc trax. Smith ad 7 trax. Pfeiffer | Pind. fr. 55 Snell || **9** add. Papag. || **16** *παραπομπὴν* Pauw *περιπομπὴν* **M** | Pind. fr. 286 Snell | *Τεγύρας* K. O. Müller || **18** *πέμπωσιν* sch. T 13a *πέμπουσιν* **E** || **21** *ἐκάθηρε* **Mi** *καθῆρεν* **M** || **22** *θεωρίαν* Weil | *τινες* Weckl. *γὰρ* **M** || **24** del. Dd. | *ὅς* Vict. *ὅ* **M** || **26—29** huc trax. Stanley ad 1 adscr. **M** | cf. Call. fr. 52 Pfeiffer

21. ⟨*Παλλὰς*⟩] *χὴ Παλλάς, Δελφοί νιν ὅθ' ἱδρύοντο Προναίην. Καλλίμ(α)χ(ος).* M
22a. ⟨*Κωρυκὶς πέτρα*⟩] *πέτραν φησὶ κοίλην τὸν Παρνασσόν. διὰ τὸ εἶναι δὲ κοῖλον τὸ ὄρος λέγεται ἐκεῖ ἀναστρέφεσθαι τοὺς δαίμονας,*
5 *καὶ διὰ τὸ ἄοικον εἶναι.* E
22b. ⟨*Κωρυκὶς πέτρα*⟩] *ὁ Παρνασσός.* M
24a. *Βρόμιος*] *ὁ Διόνυσος.* E
24b. *ἀμνημονῶ*] *διὸ εἶπε δαιμόνων ἀναστροφή.* M
26a. ⟨*λαγῶ δίκην*⟩] *λαγωοῦ δίκην καταπτήξαντι καὶ μὴ ἀνθισταμένωι.* M
10 26b. *λαγῶ δίκην*] *οἱ λαγοὶ δειλοί εἰσιν λίαν· φησὶν αὐτὸν λαγωοῦ δίκην ὑποπτήξαντα* ⟨*καὶ*⟩ *μὴ ἀνθιστάμενον τοῖς πολεμοῦσιν αὐτῶι.* E
26c. *Πενθεῖ*] *νῦν φησιν ἐν Παρνασσῶι εἶναι τὰ κατὰ Πενθέα, ἐν δὲ ταῖς Ξαντρίαις ἐν Κιθαιρῶνι.* ME
27. ⟨*Ποσειδῶνος κράτος*⟩] *τὴν Πυθὼ τὴν πρώην Ποσειδῶνος ὑπὲρ*
15 *ἧς Καλαύρειαν ἐδέξατο. Καλλίμαχος· μέσφα Καλαυρείης ἦλθεν ἐς ἀντίδοσιν.* ME
28. ⟨*καλοῦσα*⟩] *καλοῦσα φροιμιάζομαι.* M
29. *ἔπειτα μάντις*] *τοῦτό φησιν ἐπειδὴ δραματική ἐστιν ἡ ποίησις. εἰ δὲ ἦν διηγηματική, εἶπεν ἂν ὁ ποιητής· ταῦτα εἰποῦσα εἰς θρόνον*
20 *ἐκαθέζετο.* ME
32. *ἴτων· ἴτωσαν Ἀττικώτερον.* M
33a. *παρ' ὀλίγον ἔρημος ἡ σκηνὴ γίνεται· οὔτε γὰρ ὁ χορός πω πάρεστιν, ἥ τε ἱέρεια εἰσῆλθεν εἰς τὸν ναόν.* M
33b. *διάλειμμα γίνεται.* M
25 34—35. *δεινὰ*] *τὰ δεινὰ ἐξέπεμψέ με τοῦ μαντείου. ἰδοῦσα γὰρ Ὀρέστην ἐπὶ τοῦ βωμοῦ καὶ τὰς Ἐρινύας κοιμωμένας, ἔξεισι τεταραγμένη τετραποδηδὸν ἐκ τοῦ νεώ.* ME
36a. *σωκεῖν*] *διὰ τὸ γῆρας.* M
36b. ⟨*ἀκταίνειν*⟩] *κουφίζειν. σημ(αίνει) δὲ καὶ τὸ γαυριᾶν καὶ ἀτάκτως*
30 *πηδᾶν.* M

14—16 cf. Pfeiffer ad Call. fr. 593 || 29—30 Et. Gen. A *ἀκταίνειν· τὸ μετεωρίζεσθαι καὶ ἐπαίρεσθαι καὶ γαυριᾶν παρὰ τὸ ἧκται ἀκτὸς καὶ ῥῆμα ἀκτῶ ἀφ' οὗ ἀκταίνω* ⟨*τὸ κουφίζω παρὰ Αἰσχύλωι*⟩ (add. E. M.) E. M. 54, 34 Lex. *Αἱμ.* 618, 3 Phot. Reitz. 69, 8 cf. Greene ad sch. Plat. Leg. 672c

1 Call. fr. 592 Pf. || 3 *πέτραν* sch. T 22 *έτραν* E || 11 add. Smith | *ἀνθιστάμενον τοῖς πολεμοῦσιν* Smith *αὐθιστάμενον τῶν πολεμούντων* E cf. sch. T 26a || 13 A. fr. 367 Mette || 14—16 ad 14 adscr. E || 15 *Καλαύριαν* E | *Καλίμαχος· μέσφος Καλαυρείας* E || 16 *ἐς* Rob. *εἰς* ME | Call. fr. 593 Pf. || 18—20 ad 20 adscr. E || 22 *πρὸς ὀλίγον* Blass || 24 *γίνεται* Papag. *γρ* M || 26 *τὰς* om. E | *ἔξειμι* E || 27 *τετραποδηδὸν — νεώ* om. E

40. *ἐμφαντικῶς παρίστησι τὸν νεωστὶ ηὐθεντηκότα, οἱονεὶ τὸν φονεύσαντα· αὐθέντης γὰρ λέγεται ὁ φονευτής.* E
41. *προστρόπαιον*] *ἱκέτην.* M
42a. *στάζοντα*] *ἐμφαντικῶς* ⟨*διὰ*⟩ *τούτου* ⟨*τὸν*⟩ *νεωστὶ ηὐθεντηκότα παρίστησιν.* M 5
42b. ⟨*νεοσπαδὲς*⟩] *νεωστὶ ἐσπασμένον.* M
45a. *ἀργῆτι μαλλῶι*] *εἰώθασιν, ὅταν ἀσαφές τι εἴπωσιν, οἱ ποιηταὶ ἐπεκδιδάσκειν αὐτό. Ὅμ(η)ρ(ος)· κύμβαχος ἐν κονίῃσιν ἐπὶ βρεγμόν τε καὶ ὤμους.* M
45b. ⟨*ἀργῆτι μαλλῶι*⟩] *εἰώθασιν οἱ ποιηταί, ὅταν τι ἀσαφὲς εἴπωσιν,* 10 *ἐπεκδιδάσκειν αὐτὸ ἀπὸ τοῦ Ὁμήρου καὶ σαφὲς ποιεῖν.* E
47. ⟨*γυναικῶν*⟩] *τῶν Ἐρινύων.* M
48. ⟨*Γοργόνας*⟩] *πρὸς τὸ φοβερὸν τῆς ὄψεως.* M
49. *οὐδ' αὖτε*] *πρὸς τὸ φοβερὸν τῆς ὄψεώς φησι τὸ Γοργείοισι. καὶ γὰρ τὰς Γοργόνας λέγουσι δείματα φέρειν τοῖς ἀνθρώποις. τὸ δὲ ὅλον·* 15 *εἶδον, φησίν, αὐτὰς ἐν γραφῆι πτερωτάς, ἀλλ' οὐχ ἁρπακτικάς.* E
50. ⟨*εἶδον*⟩] *ἀλλ' οὐδ' Ἁρπυίας αὐτὰς λέγω· εἶδον γὰρ αὐτὰς ἐν γραφῆι πτερωτάς.* M
52a. ⟨*βδελύκτροποι*⟩] *ἅς τις βδελύξαιτο καὶ ἐκτραπείη μισήσας.* M
52b. *βδελύτροποι*] *ἃς ἰδών τις, φησί, βδελύξαιτο καὶ ἐκτραπείη μισή-* 20 *σας αὐτὰς ὡς δυσειδεῖς· ἀπὸ γὰρ τῶν ὀμμάτων αὐτῶν λείβουσιν αἱματηρὸν σταλαγμόν.* E
52c. ⟨*βδελύκτροποι*⟩] *σκυθρωποί.* M
53. *φυσιάμασιν*] *ἀναπνοαῖς.* F
54. ⟨*δυσφιλῆ λίβα*⟩] *οἷον αἱματηράν.* M 25
55. ⟨*κόσμος*⟩] *ὃν ἔχουσι περικείμενον ἑαυταῖς.* M
57a. *τὸ φῦλον*] *οὐδέποτε τοιοῦτον γένος εἶδον.* M
57b. *ὄπωπα*] [*καὶ*] *οὐδέποτε, φησί, τοιοῦτον γένος εἶδον μηδὲ ἴδοιμι.* E

sch. 36c Hesych. *ἀκταίνειν· μετεωρίζειν* || **sch. 36d** Phryn. praep. soph. 39, 8 *ἀκταινῶσαι· ... Αἰσχύλος· οὐκέτ' ἀκταίνω* (est haud dubie locus noster) *φησί, βαρυτόνως, οἷον οὐκέτι ὀρθοῦν δύναμαι ἐμαυτήν* || 2 cf. Erbse ad Ael. D. fr. *α* 194 || **sch. 44** Hesych. *λήνει· ἐρίωι*

1 *ηὐθεντηκότα* sch. 42a *αὐθεντικότα* **E** || 4 *ἐμφαντικῶς* Th. *ἐμφατικῶς* **M** | *διὰ τούτου τὸν* Smith *τοῦτο* **M** cf. Class. et Med. 30, 53 | *ηὐθεντηκότα* Blass *αὐθεντηκότα* **M** || 8—9 Hom. *E* 586 || 10—11 huc trax. Smith coll. sch. 45a ad 46 adscr. **E** || 11 *ἐπεκδιδάσκειν* Smith coll. sch. 45a *ἐκδιδάσκειν* **E** || 20 *ἰδών τις* sch. T 52a *ἰδόντες* **E** || 21 *γὰρ* sch. T 52a *δὲ* **E** || 26 *περικείμενον* Scaliger *παρακείμενον* **M** || 28 del. Smith

57c. *ὁμιλίας*] *συνηθείας, συνουσίας, συστήματος.* M

58. ⟨*γένος*⟩] *τὸ τῆς ἀνατροφῆς.* M

61a. ⟨*μελέσθω*⟩] *ὥστε, εἰ θεραπείας χρεία, ἰατρός ἐστιν, εἴτε μαντείας, τερατοσκόπος, εἴτε καθαρμῶν, καθάρσιος.* M

5 **61b.** *μελέσθω*] *ὥστε, φησίν, εἰ θεραπείας χρεία, αὐτῶι μελέσθω τῶι Ἀπόλλωνι· καὶ γὰρ εἰ θεραπείας χρεία, αὐτός ἐστιν ἰατρός, εἰ δὲ μαντείας, πάλιν αὐτός ἐστι τερατοσκόπος.* E

63. ⟨*ἄλλοις*⟩] *πόσωι μᾶλλον τῶν ἰδίων.* M

64a. *οὔτοι προδώσω*] *πρὸς Ὀρέστην φησίν· ἀπέστη γὰρ ἡ ἱέρεια.* M

10 **64b.** ⟨*οὔτοι προδώσω*⟩] *ἐπιφανεὶς Ἀπόλλων συμβουλεύει Ὀρέστηι καταλιπεῖν μὲν τὸ μαντεῖον, φυγεῖν δὲ εἰς Ἀθήνας. καὶ δευτέρα δὲ γίνεται φαντασία· στραφέντα γὰρ μηχανήματα ἔνδηλα ποιεῖ τὰ κατὰ τὸ μαντεῖον ὡς ἔχει. καὶ γίνεται ὄψις τραγική· τὸ μὲν ξίφος ἡιμαγμένον ἔτι κατέχων Ὀρέστης, αἱ δὲ κύκλωι φρουροῦσαι αὐτόν.* M

15 **64c.** *προδώσω*] *ἐπιφανεὶς ὁ Ἀπόλλων συμβουλεύει Ὀρέστηι καταλιπεῖν μὲν τὸ μαντεῖον, φυγεῖν δὲ εἰς Ἀθήνας. καὶ δευτέρα δὲ γίνεται φαντασία· στραφέντα γὰρ μηχανήματα ἔνδηλα ποιεῖ τὰ κατὰ τὸ μαντεῖον ὡς ἔχει ἐν αὐτῶι. ταῦτα δὲ ὁ Ἀπόλλων φησίν· ἡ γὰρ ἱέρεια ἀπέστη αὐτοῦ.* E

20 **66.** *πέπων*] *γρ(άφεται) π ρ έ π ω ν. οὐχ ὅμοιος· αἱ μὲν γὰρ καθεύδουσιν, ἐγὼ δὲ ἐγρήγορα.* M

69a. *γραῖαι παλαιαὶ*] *πολιαὶ γάρ· παῖδες ⟨δὲ⟩ διὰ τὸ †νέον†, ἢ ἐπειδὴ ἄγαμοι καὶ παρθένοι εἰσίν· τὸ ἀλλόκοτον δὲ τῆς φύσεως διὰ τῶν ἐναντίων τραγικώτερον διασύρει.* M

25 **69b.** *παλαιαὶ*] *παλαιὰς λέγει τὰς θεὰς καὶ κόρας. κόρας μὲν ὅτι ἄγαμοι καὶ παρθένοι εἰσί, παλαιὰς δὲ διὰ τὸ γῆρας. τὸ ἀλλόκοτον δὲ τῆς φύσεως διὰ τῶν ἐναντίων τραγικώτερον διασύρει.* E

71. ⟨*κακῶν δ' ἕκατι*⟩] *ἕνεκεν τοῦ κακοποιεῖν.* M

75. *ἐλῶσι*] *ἐλάσουσι.* MFE

30 **78a.** *βουκολούμενος*] *περιέπων, ἐνεργῶν.* FE

78b. ⟨*βουκολούμενος*⟩] *περιέπων.* M

80. *ἄγκαθεν*] *ταῖς ἀγκάλαις.* MFE

86. ⟨*μάθε*⟩] *ἐπίστασαι.* M

2 huc trax. M^{pc} ad 59 adscr. M^{ac} | *τὸν* Abr. sed cf. Rutherford 166 adn. 15 || **17** *ποιεῖ τὰ* sch. 64b *ποιεῖται* **E** || **20** *ὅμοιος* Paley *ὅμοιον* **M** || **22** post *γάρ* dist. Abr. | add. Abr. cf. Class. et Med. 30, 54 || **26** *ἀλλόκοτον* sch. 69a *ἀλόκοτον* **E** || **29** *ἐλάσωσι* **ME**

87a. *⟨σθένος⟩] τὸ δὲ σὸν σθένος ἀσφαλές ἐστιν εἰς τὸ εὖ ποιεῖν.* M
87b. *τὸ δὲ σὸν σθένος, φησίν, ἀσφαλές ἐστιν ⟨εἰς τὸ⟩ εὖ ποιεῖν.* E
91. *ὅδιος γὰρ ὁ θεός.* MF
92—93. *⟨σέβει ... τύχηι⟩] τὸ τῶν ἱκετῶν σέβισμα καὶ δέημα οὐ μόνον τιμᾶι ὁ Ζεύς, ἀλλὰ καὶ σέβει, ὁρῶν αὐτὸ ὁρμώμενον προσηκούσηι τύχηι.* M 5
94a. *εὕδοιτ'] ὁ μὲν Ὀρέστης φυγῆι οἴχεται Ἀθήναζε πειθόμενος, αἱ δὲ Ἐρινύες μόναι καθεύδουσιν ὑπὸ πόνου ἴσως καὶ Ἀπόλλωνος, τοῦ τραγωιδοποιοῦ τοῦτο ἐπιτηδεύσαντος ἵνα διὰ τούτου ἐμφαίνηι τὸ ἄγριον αὐτῶν καὶ χαλεπόν. πῶς δὲ διεγείρονται; οὐχ ὑπὸ Ἀπόλλωνος* 10 *οὐδὲ ὑφ' ἑαυτῶν, ἀλλ' ἐν ἄλληι φαντασίαι. ἐφίσταται γὰρ τὸ εἴδωλον Κλυταιμήστρας καὶ μεμψάμενον ἀνεγείρει, ὥστε ποικίλαις φαντασίαις πεπύκνωται.* M
94b. *ὁ μὲν Ὀρέστης φυγῆι οἴχεται Ἀθήναζε πειθόμενος, αἱ δὲ Ἐριννύες μόναι καθεύδουσιν ὑπὸ πόνου ἴσως καὶ Ἀπόλλωνος, τοῦ τραγωιδοποιοῦ* 15 *τοῦτο ἐπιτηδεύσαντος ἵνα διὰ τούτου ἐμφανὲς γένηται τὸ ἄγριον αὐτῶν καὶ χαλεπόν.* E
95a. *ὑμῶν] ὑπὲρ ὧν, φησιν, ἐφόνευσα Ἀγαμέμνονα ἀπώσασθε, καὶ οἱ ἐμὲ φονεύσαντες οὐκ ἀτιμάζονται, ὡς Ὀρέστης οὗτος ὁ ἐμὸς υἱός.* E
95b. *⟨ἀπητιμασμένη⟩] λείπει εἰμί.* M 20
96. *⟨ὡς μὲν ἔκτανον⟩] ὑπὲρ ὧν ἐφόνευσα Ἀγαμέμνονα ἀπώσασθε καὶ οἱ ἐμὲ φονεύσαντες οὐκ ἀτιμάζονται. παιδευτικὰ δὲ ταῦτα· τὸ γὰρ τοὺς ἐναγεῖς καὶ μετὰ θάνατον ὑπὸ νεκρῶν ἀτιμάζεσθαι ἱκανῶς ἔχεται παιδεύσεως.* M
99a. *⟨κείνων ὕπο⟩] καὶ σφαγεῖσα αἰτιῶμαι ὑπ' αὐτῶν τῶν περὶ* 25 *Ἀγαμέμνονα.* M
99b. *σφαγεῖσα, φησίν, αἰτιῶμαι ⟨ὑπὸ⟩ τῶν περὶ Ἀγαμέμνονα.* E
103. *⟨πληγὰς⟩] τραγικώτερον [δὲ] τὸ εἴδωλον Κλυταιμήστρας σώζει τὴν σφαγήν.* M
104a. *⟨εὕδουσα⟩] ἐν τῶι καθεύδειν ὁ νοῦς ἀκριβέστερον ὁρᾶι μὴ παρα-* 30 *πλανώμενος τῆι θέαι.* M

2 add. Smith || 3 ad 90 *ἐπώνυμος* adscr. **M** || 7 *πειθόμενος* Hdl. *πυθόμενος* **M** || 9 *ἐμφαίνηι* Vict. *ἐμφανῆ* **M** || 14—17 huc trax. Smith coll. sch. 94a ad 121 adscr. **E** || 14 *πειθόμενος* sch. 94a *πυθόμενος* **E** || 20—24 sch. 95b et 96 separ. Smith cont. **M** cf. Class. et Med. 30, 54 || 25—26 huc trax. Smith coll. sch. 99b ad 98 adscr. **M** || 27 add. Smith | *τῶν περὶ Ἀγαμέμνονα* Smith *τὸν παρὰ Ἀγαμέμνονα Ὀρέστην* **E** || 28—31 sch. 103 et 104a separ. Smith cont. inu. ord. **M** || 28 del. Smith

104b. ἐν τῶι καθεύδειν, φησίν, ὁ νοῦς ἀκριβέστερον ὁρᾶι μὴ πλανώμενος τῆι θέαι τῆς ἡμέρας. καὶ γὰρ τῆς νυκτὸς αἱ ἔννοιαι ἄρισται. E
105. ⟨μοῖρ'⟩] ἡ τῆς φρενὸς μοῖρα οὐ προορᾶι ἐν ἡμέραι. M
107a. ⟨ἀοίνους⟩] οἶνος γὰρ οὐ σπένδεται Ἐρινύσιν. M
5 **107b.** οἶνος γὰρ οὐ σπένδεται Ἐριννύσιν. ἔθυον δὲ αὐταῖς κατὰ τὴν νύκτα, ἐν ἧι οὐδεὶς τῶν θεῶν ἐκοινώνει τῆς θυσίας αὐταῖς. ἐν γὰρ τῶι μεσονυκτίωι μόναις Ἐριννύσιν ἀπάρχονται θύειν. E
109a. ⟨ἔθυον⟩] ἔθυον ⟨ἐν νυκτὶ⟩ ἐν ἧι οὐδεὶς τῶν θεῶν ἐκοινώνει τῆς θυσίας ὑμῖν. ἐν γὰρ τῶι μεσονυκτίωι μόναις Ἐρινύσιν ἀπάρχονται. M
10 **109b.** ⟨ὥραν⟩] ⟨σημείωσαι⟩ ὅτι ταύταις μόναις ἐν νυκτὶ θύουσιν. M
111. ⟨ἐξαλύξας⟩] διὰ τὸ πεφευγέναι ἐκ τοῦ νεώ. M
113a. ἐκκατιλλώψας] χλευάσας, ἐγγελάσας. F
113b. ⟨ἐκκατιλλώψας⟩] χλευάσας, ἐγγελάσας. διὰ δὲ τούτων ἐρεθίζει αὐτάς. ME
15 **117.** ⟨μυγμός⟩] παρεπιγραφή. τοῦτο δέ ἐστιν ὅ φησι ὁ ποιητής· αἱ δ' ἐπέμυξαν. τὸ δὲ ἐγείρεσθαι ⟨ἀθρόως⟩ τὰς παρειμένας ὕπνωι οὐ πιθανόν· κατὰ βραχὺ οὖν ἐκ προσβάσεως τὴν ἔγερσιν ποιήσονται. M
124a. ὤζεις] ὡς παρὰ τὸ αἶ αἶ αἰάζειν, οὕτω παρὰ τὸ ὦ ὦ ὤζειν. M
124b. ὡς παρὰ τὸ αἶ αἶ αἰάζειν, οὕτω καὶ παρὰ τὸ ὦ ὦ ὤζειν. τί οὖν
20 ⟨μέλλεις⟩ τὸ σὸν ἔργον ἀνύειν; E
125. τί σοι] τί οὖν μέλλεις τὸ σὸν ἔργον ἀνύειν; M
127a. ⟨συνωμόται⟩] συνωμοσίαν ποιήσαντες κατεκοίμησαν ὑμᾶς. M
127b. συνωμοσίαν, φησί, ποιήσαντες κατεκοίμησαν ὑμᾶς. E
128. ἐξεκήραναν] παρείλοντο. M
25 **130a.** ⟨λάβε⟩] ὀνειροπολοῦσαι διώκειν Ὀρέστην τοῦτό φασιν. M
130b. ὀνειροπολοῦσαι διώκειν Ὀρέστην ἐοίκασιν. E
135. ἄλγησον] οὕτως ἄλγησον, φησίν, ὡς μαστιζόμενος. E
136. ⟨ἀντίκεντρα⟩] ἴσα μαστίγων. M
137a. ⟨πνεῦμ'⟩] οἰκεῖον τῶι πνεῦμα τὸ ἐπουρίσασα. M
30 **137b.** ⟨ἐπουρίσασα⟩] ἐφορμήσασα τῶι Ὀρέστηι. M

18—19 Eust. 127, 10 ὥσπερ παρὰ τὸ αἶ ἐπίρρημα γίνεται τὸ αἰάζω καὶ παρὰ τὸ ὦ ὤζω ἐν Αἰσχύλωι cf. Et. Gen. αἰάζω E. M. 26, 57 Et. Gud. 35, 4 de Stef.

2 ἄρισται sch. T 104 ἄριστοι E || **7** ἀπάρχονται sch. 109a ἀπέρχονται E || **8** add. Papag. || **10** add. Smith || **12** χλευάσας Blass χλεβάσας F || **15** Hom. Δ 20 || **16** add. Weckl. coll. sch. 140b || **18** ὤζειν Mi ὤιζειν M || **20** add. Smith coll. sch. 125 || **22** κατεκοίμησαν Mi κατεκοίμισαν M || **25** φασιν Dd. φησι M

137c. ἐφορμήσασα τῶι Ὀρέστηι. τὸ δὲ ἀτμῶι κατισχαίνουσα ἀντὶ τοῦ πυρετῶι αὐτὸν ἀναλίσκουσα, ὡς δοκεῖν ἀτμοὺς ἀνιέναι ἀπὸ τῆς γαστρὸς αὐτοῦ. E
138a. ἀτμῶι] πυρετῶι αὐτὸν ἀναλίσκουσα, ὡς δοκεῖν ἀτμοὺς ἀνιέναι ἀπὸ τῆς γαστρὸς αὐτοῦ. M 5
138b. κατισχαίνουσα] ἐκλεπτύνουσα. M
140a. ἐξ ὧν μία. M
140b. μιμούμενος ἐμφαντικῶς τὴν ἀλήθειαν οὐκ ἀναστήσει αὐτὰς ἀθρόως, ἀλλ' ἐγείρεταί τις πρώτη, ὥστε μὴ ἀθρόως τὸν χορὸν φθέγξασθαι. M 10
142. ματᾶι] μάταιον γίνεται. M
143. ⟨ἐπάθομεν⟩] λείπει δεινά. MF
144. ἦ πολλὰ] κομματικῶς ἕκαστον κατ' ἰδίαν προενεκτέον. αἱ γὰρ διακοπαὶ πρόσφοροι τοῖς πάθεσιν. M
145. κομματικῶς ἕκαστον κατ' ἰδίαν προενεκτέον — αἱ γὰρ διακοπαὶ 15 πρόσφοροι τοῖς πάθεσι τούτοις — καθ' ἓν καὶ ἕν. τὸ δὲ καθιππάσω ἀντὶ τοῦ κατεπολέμησας αὐτάς. E
146. ⟨ἄφερτον κακόν⟩] ἀφόρητον κακὸν ἐπάθομεν. M
150. καθιππάσω] κατεπολέμησας. M
153a. ⟨τοκεῦσιν⟩] συλληπτικῶς. M 20
153b. συλληπτικῶς χρὴ λέγεσθαι τὸν μητραλοίαν. E
156a. ⟨ἔτυψεν⟩] ὡς ἡνίοχος ἔτυψέ με. M
156b. οὕτως ἔτυψέ με, φησίν, ὥσπερ ἡνίοχος. E
159a. λοβόν· μέρος τοῦ ἥπατος. M
159b. λοβόν] λοβὸς [τὸ] μέρος τοῦ ἥπατος. E 25
160a. μαστίκτορος] λείπει τὸ ὡς. M
160b. μαστίκτορος] ἀπὸ κοινοῦ τὸ ἔτυψε. E
161a. ⟨περίβαρυ⟩] οὐ τὸ τυχόν, ἀλλὰ περισσῶς βαρύ. M
161b. κρύος ἔχειν] οὐ τὸ τυχὸν βαρύ, ἀλλὰ τὸ περισσόν. E
161c. κρύος ἔχειν] ἡμᾶς φασιν. M 30
163. ⟨δίκας πλέον⟩] παρὰ τὸ δίκαιον τὸ πᾶν ἔχοντες. M
164a. τὸν θρόνον, φασίν, οὗ Ὀρέστης καθῆστο, πάρεστιν ὁρᾶν φονο-

1 τὸ sch. T 137 τῶι E | κατισχαίνουσα t. κατισχάνουσα E || 8—9 μιμούμενος ἐμφαντικῶς τὴν ἀλήθειαν οὐκ ἀναστήσει αὐτὰς ἀθρόως Romagnoli ἀναστήσει αὐτὰς οὐκ ἀθρόως μιμούμενος ἐμφατικῶς τὴν ἀλήθειαν M || 8 ἐμφαντικῶς Mi ἐμφατικῶς M || 12 ad πυπὰξ adscr. F | λείπει om. F || 15 προενεκτέον sch. 144 προσενεκτέον E || 25 del. Smith || 30 φασιν Weckl. φησι M || 32 φονολιβῆ t. φονολειβῆ E

λιβῆ ἀπὸ ποδῶν ἕως κεφαλῆς. τὸ γὰρ γᾶς ὀμφαλὸν ἀντὶ τοῦ ⟨τὸν⟩ ἐν Πυθοῖ. διὰ τούτων ἀποσκευάζειν δοκοῦσι τῆς ἐπικουρίας τῶν θεῶν τὸν Ὀρέστην, ὥστε τὸν ὀμφαλὸν ἔχειν αἱμάτων ἄγος ἐπαίροντα. E

164b. φονολιβῆ] τὸν θρόνον, οὗ Ὀρέστης καθῆστο, πάρεστιν ὁρᾶν 5 φονολιβῆ ἀπὸ ποδῶν ἕως κεφαλῆς ὅλον. τὸ δὲ γᾶς ὀμφαλὸν ἀντὶ τοῦ τὸν ἐν Πυθοῖ. διὰ δὲ τούτων ἀποσκευάζειν δοκοῦσι τῆς ἐπικουρίας Ὀρέστου τὸν θεόν. M

166a. ⟨προσδρακεῖν⟩] ὥστε τὸν ὀμφαλὸν ἔχειν αἱμάτων ἄγος ἐπαίροντα. M

10 **166b.** προσδρακεῖν] λείπει ὁ καί. M

170. ⟨αὐτόκλητος⟩] αὐτὸς αὑτὸν καλέσας ἐπὶ τῶι μιᾶναι τὸν ναόν. ME

172. ⟨μοίρας⟩] ἡμᾶς ὅσον ἐπὶ σοί. M

176—177. ποτιτρόπαιος] ὢν ἐναγὴς ἐν τῶι κάραι ἑαυτοῦ ἕτερον μιάστορα λήψεται, καὶ οἱ ἐξ αὐτοῦ δίκας ἡμῖν δώσουσιν. ME

15 **176a.** ⟨ποτιτρόπαιος⟩] προστρόπαιος ἀντὶ τοῦ ἐναγής. M

176b. ποτιτρόπαιος] ἐναγής. M

180. τὸ μὲν πρῶτον πρὸς πάσας ὁ λόγος, ἑξῆς δὲ πρὸς μίαν ἀποδίδοται. E

181a. ⟨ὄφιν⟩] τραγικώτερον ὄφιν εἶπεν τὸ βέλος διὰ τὸν ἰόν, πτηνὸν 20 δὲ διὰ τὸ ἐπτερῶσθαι. τὸ μὲν πρῶτον πρὸς πάσας ὁ λόγος, πρὸς μίαν δὲ ἑκάστην νῦν. M

181b. τραγικώτερον ὄφιν εἶπε τὸ βέλος διὰ τὸν ἰόν, πτηνὸν δὲ διὰ τὸ ἐπτερῶσθαι. E

182. θώμιγγος] νευρᾶς. M

25 **183a.** ⟨μέλανα ... ἀφρόν⟩] τὸ αἷμα μέλανα ἀφρὸν εἶπεν, οὐ δήπου τὸ ἔμφυτον αὐτῶν — ἀναίμονες γάρ εἰσιν οἱ θεοί — ἀλλὰ τὸ ἀπ' ἀνθρώπων ἠθροισμένον, ὡς τούτωι τροφῆι χρωμένων αὐτῶν. M

183b. μέλανα ἀφρὸν εἶπε τὸ αἷμα, οὐ δήπου τὸ ἔμφυτον αὐτῶν — ἀναίμονες γάρ εἰσιν οἱ θεοί — ἀλλὰ τὸ ἀπ' ἀνθρώπων ἠθροισμένον. 30 ἀφρὸν δὲ τὴν πῆξιν τοῦ αἵματος. E

184. θρόμβους] τὰς πήξεις τοῦ αἵματος. M

186. καρανιστῆρες] αἱ ἀποκεφαλίζουσαι. M

188a. ⟨χλοῦνις⟩] ἡ ἐκτομὴ μορίων. M

1 add. Smith coll. sch. 164b || **5** φονολιβῆ t. φονολειβῆ M || **6** τὸν Kirchhoff τὸ M || **8** ὀμφαλὸν Stanley ὀφθαλμὸν M || **10** ὁ καί] τὸ ὡς Wil. || **11** ἑαυτὸν E | ἐπὶ τὸ E || **13** αὐτοῦ E || **17** μὲν sch. T 180 μὴ E | ἀποδίδοται sch. T 180 ἀποδέδοται E || **27** ἠθροισμένον MiMc ἠθροισμένον M || **33** ad χλοῦνις trax. Smith ad ἀκρωνία adscr. M

188b. *χλοῦνις ἀκρωνία·* ἡ ἀκμαία ἀποκοπὴ παρὰ τὴν χλόην· ἢ ἐπεὶ χλούνης ὁ σῦς, κάπροι δὲ συνεχῶς εὐνουχίζονται. διὰ τοῦτο τὴν ἀποκοπὴν συικὴν εἶπεν, οὐκ ἀνθρωπίνην. M
188c. χλοῦνιν λέγει τὴν ἀκμαίαν ἀποκοπὴν παρὰ τὴν χλόην· ἢ ἐπεὶ χλούνης ὁ σῦς, κάπροι δὲ συνεχῶς εὐνουχίζονται. FE 5
188d. ⟨ἀκρωνία⟩] κακῶν ἄθροισις [ἢ λιθοβολίας]. Ἡρωδ(ιανὸς) δὲ τὸ σύστημα καὶ ἄθροισμα. M
189. ⟨λευσμόν⟩] ἡ λιθοβολία. M
191a. *ἑορτῆς·* εἰρωνικῶς ἀντὶ τοῦ διατριβῆς. M
191b. τὸ *ἑορτῆς* εἰρωνικὸν ἀντὶ τοῦ διατριβῆς. FE 10
192—193. ⟨πᾶς ... μορφῆς⟩] ἀντὶ τοῦ διὰ τῆς μορφῆς ὑμῶν ἡ κακία τῶν τρόπων ὑμῶν διαδείκνυται. ME
195. τρίβεσθαι μῦσος] μῦσος προστρίβεσθαι. M
196. ⟨ἄνευ βοτῆρος⟩] μόναι ὡς ἀνήμερα θηρία. M
199—200. ⟨αὐτὸς ... παναίτιος⟩] οὐκ ἐπικοινωνῶν τῆι αἰτίαι, ἀλλὰ 15 τοῦ παντὸς σὺ αἴτιος. ME
204. ⟨δέκτωρ⟩] ὥστε δέξασθαι τὸν φονέα. ME
206. ⟨προπομποὺς⟩] ἠθικεύσαντο τὰς διωκτρίας *προπομποὺς* εἰπούσαι. ME
211a. τίς γὰρ] τί προστέταχθε ποιεῖν περὶ ἀνδροφόνου ἀνδρὸς γυ- 20 ναῖκα φονεύσαντος; E
211b. τί γὰρ] τί προστέταχθε ποιεῖν περὶ ἀνδροφόνου γυναικός; M
212a. ⟨αὐθέντης⟩] ὁ τοῦ Ἀγαμέμνονος φόνος οὐκ ἦν αὐθέντης, ὅ ἐστι μιαρός. M
212b. αὐθέντης] ὁ τοῦ Ἀγαμέμνονος φόνος, φησίν, οὐκ ἔστιν αὐθέν- 25 της, ὅ ἐστι μιαρός. E
223. *ἡσυχαιτέραν·* δολιωτέραν. MF
230. ⟨δίκας⟩] ἡ δίκη τοῦ μητρώιου αἵματος. M

1—5 sch. DAbT Hom. *I* 539b Eust. 772, 51 Aelian. fr. 10 || 6—7 Bekk. I 372, 2 Phot. Reitz. 68, 10 E. M. 53, 42 || **sch. 188e** Hesych. *ἀκρωνία· ἀθροίσματα, παράστασις, πλῆθος*

4 *χλοῦνις* **E** || 5 *χλούνης* Blass *χλοῦνις* **FE** | *εὐνουχίζονται* Blass *εὐνουχιάζονται* **FE** || 6 del. Blass | Hrd. I 294, 33 || 8 huc trax. Blass e sch. 188d | *ἡ* Rob. *ἢ* **M** | *λιθοβολία* **Mi** *λιθοβολίας* **M** || 12 *δείκνυται* **E** || 17 huc trax. Paley ad 203 adscr. **M** ad 207 adscr. **E** || 18 *ἢ καθικετεύσαντο* **E** || 22 *περὶ* Abr. *παρὰ* **M** || 25 *φόνος φησίν* sch. T 212a *φησὶν φόνος* **E** || 27 l. om. **F** | *σχολαιοτέραν* Wakefield

234. ⟨*μῆνις*⟩] *μή τοί τι θεῶν μήνιμα γένωμαι.* M
237. ⟨*ἀφοίβαντον*⟩] *ἀκάθαρτον.* M
238. ⟨*προστετριμμένον*⟩] *ἀντὶ ἐπελθόντα.* M
239. ⟨*ἄλλοισιν*⟩] *ἄλλοις προστριψάμενον τὸ μύσος.* M
5 **245.** *φραδαῖς*] *ταῖς ἐννοίαις.* M
246a. ⟨*τετραυματισμένον*⟩] *ὡς αὐτόχρημα αἱματοῦντος Ὀρέστου καὶ μιαίνοντος τὴν γῆν ἧς ἐφάψεται.* M
246b. *τετραυματισμέ(νον)· τὸ μὲν ἀπορρεῖν τὸ αἷμα παραδοξολογίας ἐστὶ τραγικῆς. ὅρα δὲ μὴ ἐκβαίνηι τὴν πίστιν ὁ ἀπὸ Ἄργους εἰς* 10 *Δελφοὺς ἥκων, εἶτα ἐκεῖθεν εἰς Ἀθήνας καὶ ἔτι αἷμα στάζων ἀπὸ τοῦ ξίφους. φαντασία οὖν ἀμήχανος· ἀλλὰ καὶ συγκέχυται τῆι παραδοξολογίαι.* M
248. ⟨*ἀνδροκμῆσι*⟩] *μεγαλοκμῆσιν.* M
249. ⟨*σπλάγχνον*⟩] *τὸ ἡμέτερον σπλάγχνον.* M
15 **250.** ⟨*ἀπτέροις*⟩] ⟨*σημείωσαι*⟩ *ὅτι μὴ πτερωτὰς εἰσήγαγεν αὐτάς.* M
252. ⟨*καταπτακών*⟩] *καταπτήξας πρὸς τῶι ἀγάλματι.* M
253. *προσγελᾶι*] *προσσαίνει.* M
254. *τὸ αὐτὸ πρόσωπόν ἐστιν.* M
256a. *ἀτίτας· ἀτιμώρητος.* M
20 **256b.** *ἀτίμας*] *ἀτιμώρητος.* F
259. ⟨*πλεχθεὶς*⟩] *ἀνθ᾽ ὧν ἡμῖν χρεωστεῖ πρόσφυξ θέλει γενέσθαι τῆς θεοῦ.* M
261. ⟨*οὐ πάρεστιν*⟩] *οὐ πάρεστιν αὐτῶι νικῆσαι ἡμᾶς.* M
262. ⟨*δυσαγκόμιστον*⟩] *τὸ ἅπαξ χυθὲν αἷμα δυσίατον.* M
25 **263a.** *τὸ διερὸν*] *τὸ βρέξαν τὴν γῆν.* M
263b. ⟨*διερὸν*⟩] *πᾶν διερὸν ἐκκεχυμένον εἰς τὴν γῆν δυσαγκόμιστον· τοιοῦτο οὖν καὶ τὸ αἷμα.* M
264. *ῥοφεῖν*] *καταπίνειν.* M
265. ⟨*πέλανον*⟩] *θρόμβον αἵματος.* M
30 **273.** *εὔθυνος*] *δικαστής.* M
275. *δελτογρά(φωι)· ἐφορᾶι δὲ πάντα ἀναγραφόμενος αὐτὰ τῆι ἰδίαι δέλτωι.* M

2 cf. Hesych. *ἀφοίβατον· ἀκάθαρτον. Αἰσχύλος Νεανίσκοις* (fr. 94 Mette)

1 huc trax. **Mi** ad 233 adscr. **M** | *μή τοί τι* Hom. *μή τι τοι* **M** | Hom. *X* 358 || 2 huc trax. Stanley coll. Hesych. (cf. test.) ad *προστρόπαιον* adscr. **M** || 6 *αἱματοῦντος* Hdl. *αἵματος ὄντος* **M** || 9 *ἐκβαίνηι* Rob. *ἐκβαίνει* **M** || 15 add. Smith

276—278. *ἐγὼ διδαχ(θείς)· διδαχθεὶς πολλοὺς καθαρμούς, ὅ ἐστι τηλικαῦτα ἀτυχήσας, ἃ πολλῶν ἐδεήθη καθαρμῶν. ἄλλως· οἱ ἐναγεῖς οὔτε ἐν ἱερῶι προσήιεσαν οὔτε προσέβλεπον οὐδὲ διελέγοντό τινι. καὶ παρ' Εὐριπίδ(ηι)· τί σιγᾶς; μῶν φόνον τιν' ἠργάσω; ἐπεὶ οὖν Ὀρέστης μέλλει διαλέγεσθαι δοκῶν ἔτι ἐναγὴς εἶναι, ἐγώ, φησί, διδαχθεὶς σὺν κακῶι τῶι ἐμαυτοῦ καὶ οἷον διδασκάλοις χρησάμενος ταῖς ἐμαῖς συμφοραῖς, ἐπίσταμαι καὶ σιγᾶν καὶ λαλεῖν ὅπου δεῖ, ἑκατέρου καιρὸν γινώσκων.* M
280. *⟨βρίζει⟩] κοιμᾶται.* M
281. *ἔκπλυτον] ἐκκεκαθαρμένον.* M
285. *⟨ἀβλαβεῖ⟩] ἐβλάπτοντο γὰρ οἱ μυσαροῖς ξυντυγχάνοντες.* M
290 a. *⟨αὐτόν⟩] λείπει ἐμέ.* M
290 b. *⟨Ἀργεῖον λεὼν⟩] ὡς τότε συμμαχούντων Ἀργείων Ἀθηναίοις.* M
293. *⟨Τρίτωνος⟩] ⟨σημείωσαι⟩ ὅτι διὰ τοῦτο οἴεται αὐτὴν Τριτογένειαν.* M
296. *⟨θρασὺς ταγοῦχος⟩] ὡς θρασὺς ἡγεμών· ἁρμόττουσα δὲ ἡ εὐχή. δεῖται γὰρ ἐνδρανοῦς βοηθοῦ.* M
298. *τὸ ἑξῆς· ἔλθοι, ὅπως γένοιτο.* M
302. *⟨ἀναίματον ... σκιά⟩] ὁ μηδὲ αἷμα σχήσων ἐξ ἡμῶν, ἀλλὰ γενησόμενος σκιά. ῥοφήσομεν γάρ σου τὸ αἷμα. ἢ ἐναίματον ἀντὶ τοῦ ζῶντά σε νεκρὸν ποιήσομεν.* M
303. *⟨οὐδ' ἀντιφωνεῖς⟩] οὐκ ἀποκρίνηι. ἢ ἀντὶ τοῦ οὐδὲ ἀντιφωνήσεις μοι, ἀλλὰ σοῦ βουλομένου λαλεῖν τὸ φθέγμα δεθήσεται.* M
309. *⟨ἀποφαίνεσθαι⟩] ὡς ἐπὶ νεκρῶι.* M
310. *⟨λάχη⟩] τοὺς κλήρους ἡμῶν. ἀπὸ κοινοῦ δὲ τὸ δεδόκηκεν.* M
311 a. *⟨ὡς ἐπινωμᾶι⟩] δεδόκηκεν ἡμῖν λέξαι τίνα τρόπον τὰ κατ' ἀνθρώπους λάχη ἐφορεύομεν.* M
311 b. *ἐπινωμᾶι] ἐπισκοπεῖ.* M
311 c. *⟨στάσις⟩] τὸ σύστημα.* M
317. *⟨ἐπικρύπτει⟩] τὸν φόνον κρύψαι θέλει.* M
318. *⟨τοῖσι θανοῦσιν⟩] τοῖς ἀναιρεθεῖσιν.* M

14—15 sch. A. R. IV 1311 sch. Pind. Pyth. IV 36 a

2 *ἀτυχήσας* Steph. *ἀψυχήσας* **M** | *ἄλλως* **Mi Mc** *ἄλλος* **M** || **3** *προσέβλεπον* Vict. *προέβλεπον* **M** | *οὐδὲ* Rob. *οὐ* **M** || **4** Eur. fr. 1008 N. | *ἠργάσω* Blass *εἰργάσω* **M** || **11** *μυσαροῖς* Steph. *μυσαροὶ* **M** || **14** add. Weckl. || **17** *ἐνδρανοῦς* L. Dindorf *ἑδρανοῦς* **M** || **25** *ἡμῶν* Vict. *ὑμῶν* **M** || **26—29** sch. 311 a et 311 c separ. Vict. cont. inu. ord. **M** || **27** *ἐφορεύομεν* Papag. *ἐφοδεύομεν* **M**

321. ⟨*μᾶτερ*⟩] *ἐπεὶ ὑπὲρ τῆς μητρὸς Ὀρέστου ἀγωνίζονται, οἰκείως τὴν μητέρα ἑαυτῶν ὀνομάζουσιν.* M
323. ⟨*ἀλαοῖσι καὶ δεδορκόσιν*⟩] *ζῶσι καὶ θανοῦσιν ἔκδικον.* M
326. ⟨*ματρῷιον ἄγνισμα*⟩] *τὸν τῶι ἰδίωι θανάτωι ἀφαγνιοῦντα τὸν*
5 *φόνον τῆς μητρός. ἄγνισμα δέ τινες εὐφήμως τὸ μόλυσμα.* M
328—332. *ἐπὶ*] *ἐπὶ Ὀρέστηι δὲ μέλλοντι θύεσθαι λεχθήσεται ὕμνος ἐξ ἡμῶν, ὡς ἐπὶ ἱερείωι, ὃς αὐτοῦ τὰς φρένας παρακόψει.* M
330. *παραφορὰ*] *παρακίνησις τῶν φρενῶν.* M
332. *δέσμιος*] *ὁ δεσμεύων αὐτοῦ τὰς φρένας.* M
10 **333.** ⟨*αὐονὰ*⟩] *ὁ ξηραίνων τοὺς βροτούς.* M
334. ⟨*διανταία*⟩] *ἡ διαμπὰξ τιμωρουμένη.* M
336. *αὐτουργίαις*] *αὐτοφονίαις.* M
338. ⟨*τοῖς ὁμαρτεῖν*⟩] *τούτοις ἡμᾶς ἀκολουθεῖν, ἕως ἀποθάνηι ὁ τοιοῦτος.* M
15 **339.** *θανὼν*] *λείπει γίνεται.* M
340. ⟨*οὐκ ἄγαν ἐλεύθερος*⟩] *ἀλλὰ πάλιν κολάζεται.* M
341. *ἐφυμνίωι αὐτῶι χρῆται. λέγεται δὲ καὶ μεσόφθεγμα.* M
345a. *ἀφόρμικτος· οὐ γὰρ σὺν ὀργάνοις μουσικοῖς γίνεται οὗτος ὁ ὕμνος.* M
20 **345b.** ⟨*δέσμιος*⟩] *ὁ δεσμεύων αὐτοῦ τὰς φρένας.* M
349. *λάχη*] *ἀντὶ τοῦ γέρα.* M
350. *ἀπέχειν*] *μὴ πλησιάζειν ἡμᾶς τοῖς θεοῖς.* M
352. ⟨*παλλεύκων ... ἐτύχθην*⟩] *οὐδαμοῦ ὅπου ἑορτὴ καὶ ἀμπεχόνη καθαρὰ πάρειμι.* M
25 **355.** ⟨*ὅταν*⟩] *ὅταν τις ἐχθρὸς συγγενὴς ὢν τὸν συγγενῆ φονεύσηι.* M
356. *πίθασος*] *οἰκεῖος, φίλος.* M
357. ⟨*ὤ*⟩] *διὰ μέσου τὸ ὤ.* M
359a. ⟨*αἵματος νέου*⟩] *τοῦ νεωστὶ εἰργασμένου ὑπ' αὐτοῦ.* M
359b. *νέου*] *διὰ τὸ νέον αἷμα.* M
30 **360.** *τινὰ*] *τὴν Κλυταιμήστραν.* MF
361—363. ⟨*ἐπικραίνειν*⟩] *λείπει εὔχομαι· ⟨εὔχομαι⟩ τοῖς θεοῖς τελέσαι μου τὸ βούλημα καὶ μὴ εἰς μάχην μοι ἐλθεῖν.* M
365. ⟨*τόδε*⟩] *τὸ τῶν φονέων.* M
368. ⟨*ὑπ' αἰθέρι*⟩] *καὶ τοὺς ὑψηλοὺς καθαιροῦμεν.* M

15—16 sch. 339 et 340 separ. Th. cont. **M** || **17** *ἐφυμνίωι* Abr. *ἐφύμνιον* **M** || **30** *Κλυταιμήστρας* **M** || **31** add. Kueck

375. ⟨*τανυδρόμοις*⟩] *τοῖς τανυδρόμοις αὐτῶν κώλοις ἐπάγουσα τὰ σφαλερά μου κῶλα. ἢ ἀπ' ἄλλης ἀρχῆς· καὶ τοῖς τανυδρόμοις γίνεται σφαλερὰ τὰ κῶλα διὰ τὴν ἐπιοῦσαν ἄτην δύσφορον ὑπ' ἐμοῦ. οἷον, καὶ οἱ ταχυδρόμοι οὐ δύνανταί με ἐκφυγεῖν.* M
377. ⟨*ὑπ' ἄφρονι*⟩] *παραφρονῶν γὰρ οὐκ αἰσθάνεται τοῦ κακοῦ.* M
378. ⟨*κνέφας*⟩] *σκότος φρενῶν· λείπει, φασί, διά, διὰ μύσος. οὐκ ἔστι δέ· αὐτὸ γὰρ τὸ μύσος κνέφας εἴρηκεν.* M
379—380. ⟨*αὐδᾶται*⟩] *κακὴ δὲ φήμη περὶ τοῦ οἴκου αὐτοῦ λέγεται.* M
381. ⟨*εὐμήχανοι*⟩] *λείπει τὸ ἐσμέν. ἡμεῖς γὰρ εὐμήχανοι ἐσμὲν καὶ ἐπιτελεστικαὶ καὶ τῶν κακῶν μνήμονες.* M
384. *δυσπαρήγοροι*] *οὐ ταχέως παρηγορούμεναι ὑπὸ βροτῶν.* M
385—386. ⟨*διόμεναι λάχη*⟩] *μετερχόμεναι λάχη ὑπὲρ ὧν οὐ τιμώμεθα ὑπὸ θεῶν.* M
386. *λάχη*] *ἀφωρισμένα τῶν θεῶν τῶι προσόντι αὐτοῖς σκότει.* M
388. *δυσοδοπαίπαλα*] *δυσπαράβατα καὶ τραχέα ζῶσι καὶ τοῖς θνήσκουσιν.* M
392. ⟨*μοιρόκραντον*⟩] *τὸν ὑπὸ Μοιρῶν καὶ θεῶν τετελεσμένον.* M
393. *ἔπι δέ μοι*] *ἔπεστιν.* M
397. *ἐπὶ ὀχήματος ἔρχεται.* M
398a. *καταφθατουμένην*] *καταφθάνουσα.* M
398c. *Μιτυληναῖοι ἐμάχοντο πρὸς Ἀθηναίους περὶ πόλεως Σιγείου· ἔδοξεν οὖν μονομαχίωι λῦσαι τὸν πόλεμον, καὶ ὑπὲρ μὲν Μιτυληναίων ἐπολέμει Πιττακός, ὑπὲρ δὲ Ἀθηναίων Φρύνων. ἡττηθέντος δὲ Φρύνωνος διελύθη τὰ τῆς μάχης. ἔοικεν οὖν παρορμᾶν Ἀθηναίους ὁ Αἰσχύλος εἰς τὸ ἀντέχεσθαι πάλιν Σιγείου, λέγων τὴν θεὸν ἐκεῖθεν ἐληλυθέναι.* M
404. ⟨*αἰγίδος*⟩] *ὡς ἀρμένωι χρωμένη τῆι αἰγίδι.* M
410a. ⟨*ὑμᾶς τ'*⟩] *καὶ πρὸς ὑμᾶς.* M
410b. ⟨*σπαρτῶν*⟩] *τῶν σπειρομένων.* M
413. ⟨*ἄμορφον ὄντα*⟩] *ἄμομφος οὖσα οὐ δυνήσηι με ἐφ' οἷς εἶπον ἀντιψέξαι.* M

sch. 398b Hesych. *καταφθατουμένη· κατακτωμένη* (corr. Herm. *καταντωμένη* cod.)· *κυρίως δὲ τὸ ἐκ προκαταλήψεως* || **21—26** Strab. XIII 599 Diog. Laert. I 74 Plut. Mor. 858A Polyaen. I 25 Suda *Πιττακός*

5 *παραφρονῶν* Steph. *περιφρονῶν* **M** || **6** *διά· διὰ* Francken *διὰ δὲ* **M** || **15** *τοῖς θνήσκουσιν*] *τεθνηκόσιν* Wieseler || **30** *ἄμομφος οὖσα* Hdl. *ἄμορφος οὖσα* **M**^{pc} *ἄμορφον ὄνσα* **M**^{ac}

416. ⟨αἰανῆ⟩] σκοτεινὰ ἢ θρηνητικὰ ἢ αἰάζειν ποιοῦντα. M
418. ⟨ἐπωνύμους⟩] τὰ ἐπώνυμα οἷς καλεῖσθε. M
423. ⟨ὅπου⟩] ἐν τῶι Ἅιδηι. M
424. ⟨ἐπιρροιζεῖ⟩] ἐπιβοᾶις, ἐπιβάλλεις. M
5 426a. ἐν ἐρωτήσει. M
426b. μὴ ἐξ ἀνάγκης τοῦτο πεποίηκεν; M
428a. δυοῖν] ὑμῖν μὲν κατηγορεῖν, ἐκείνωι δὲ ἀπολογεῖσθαι. μηδὲ δίκην δικάσῃς πρὶν ἀμφοῖν μῦθον ἀκούσῃς. M
428b. ⟨δυοῖν⟩] σοῦ καὶ Ὀρέστου. M
10 429. ⟨ἀλλ' ὅρκον⟩] οὕτως, φησί, φανερόν ἐστι τὸ κατ' αὐτόν, ὡς μήτε αὐτὸν δύνασθαι ὀμόσαι ὅτι οὐκ ἔστι τοιοῦτος, μήτε θέλειν ὅρκον ἡμᾶς αἰτῆσαι, εἰ δικαίως αὐτὸν κολάζομεν. M
430. κλύειν] θέλεις αὐτὸν ἀπολογήσασθαι ἢ κατηγορεῖς αὐτοῦ ὡς πράξαντος; M
15 432a. μὴ πρότεινε αὐτῶι ὅρκον καὶ διὰ τούτου θέλε νικᾶν. M
432b. ὅρκοις] οὐκ ὀφείλει ὁ ἀδικῶν ὅρκωι φεύγειν τὴν κατηγορίαν· ἐπιορκήσει γάρ. M
435. ⟨ἐπαξίων⟩] ἀξίων οὖσαν γονέων. M
438. ⟨ψόγον⟩] ἀντὶ ἔγκλημα. M
20 441a. ⟨προσίκτωρ⟩] τῶι ναῶι ⟨***⟩. M
441b. ⟨τρόποις Ἰξίονος⟩] ὃν τρόπον κἀκεῖνος προσεκάθητο τῶι ναῶι τοῦ Διὸς καθαρισθησόμενος. πρῶτος γὰρ Ἰξίων φόνον ποιήσας ἐκαθαρίσθη ὑπὸ Διός. M
442. ⟨ἀμείβου⟩] ἀποκρίνου μοί τι εὔγνωστον. M
25 445. προστρόπαιος] ἐναγής. M
448a. ση(μείωσαι). M
448b. ⟨τὸν παλαμναῖον⟩] τὸν φονέα. M
452. καὶ εἰς οἶκον εἰσῆλθον καὶ ὑδάτων μετέλαβον. M
453. ταύτην] τὴν τοῦ μύσους. M
30 456. ⟨ἁρμόστορα⟩] διατάκτορα, βασιλέα. M
457. ⟨ξὺν ὧι σὺ⟩] διὰ τούτων φιλοποιεῖται τὴν θεόν. M
459. ⟨κελαινόφρων⟩] δολιόφρων. M
460. ⟨ποικίλοις ἀγρεύμασι⟩] τῶι πέπλωι. M

7—8 Hes. fr. 338 || 10—15 sch. 429 et 432a separ. Paley cont. inu. ord. ad 429 adscr. M || 20 huc trax. Smith ad 440 adscr. M cf. Class. et Med. 30, 55 | lac. indic. Smith | προσκαθῆσθαι? cf. sch. 441b || 24 τι Paley τί M

461. ⟨*ἐξεμαρτύρει*⟩] *ἐκήρυττε τὸν διὰ τῆς ἐπιχύσεως τῶν λουτρῶν γενόμενον αὐτῶι φόνον. λέγεται γὰρ μετὰ τὸ φονεῦσαι γυμνὸν ἐξαγαγεῖν καὶ δεῖξαι τοῖς πολίταις.* M
465a. *τοῦτο δὲ πρὸς τὸ* ἄλλης ἀνάγκης οὔτινος τρέων κότον. M
465b. *τῶνδε*] *πάντων.* M
469. *πράξας*] *τὰ κατὰ τὴν σὴν κρίσιν ἀποβαίνοντα, ὁποῖα ἂν ἧι, ἐπαινέσω.* M
470—472. *εἴ τις*] *εἴ τις οἴεται τὸ πρᾶγμα τόδε βροτὸς δικάζειν, μεῖζον ἢ κατ' ἀνθρώπους οἴεται. ἐμοὶ δὲ περὶ φόνου δικάζειν οὐχ ὅσιον.* M
472. *ὀξυμηνίτου*] *ἐφ' οἷς ταχέως μηνίσουσιν Ἐρινύες.* M
473a. ⟨*κατηρτυκὼς*⟩] *τέλειος τὴν ἡλικίαν. τοῦτο δὲ ἀπὸ τῶν ζώιων.* M
474. ⟨*καθαρὸς ἀβλαβὴς*⟩] *διὰ τούτου ἐλπίδας αὐτῶι χρηστὰς ὑποτίθησιν.* M
475. ⟨*αἱροῦμαι πόλει*⟩] *δέχομαι ἐν τῆι πόλει.* M
476. ⟨*εὐπέμπελον*⟩] *εὐπαραίτητον, εὐχερῆ, εὐάρεστον· δυσάρεστοι,* ⟨*φησί*⟩, *φύσει εἰσὶν αὗται.* M
477. ⟨*τυχοῦσαι*⟩] *ἀντὶ τυχουσῶν.* M
481. *πέμπειν αὐτὰς ἀμηνίτως δυσχερές ἐστιν ἐμοί.* M
482. ⟨*ἐπέσκηψεν*⟩] *ὡς σκηπτὸς ἐπῆλθεν.* M
483. ⟨*ὁρκίων*⟩] *οἷον ἐνόρκους δικαστάς.* M
484. ⟨*θήσω*⟩] *διετέλεσε γὰρ τὸ Ἀρειοπαγιτικὸν συνέδριον.* M
485—486. *ὑμεῖς δὲ ὅρκους αὐτοὺς αἰτήσατε.* M
487a. *βέλτατα*] *βέλτιστα.* M
487b. *βέλτατα*] *τὰ μέγιστα.* F
489. ⟨*ὅρκον περῶντας*⟩] *ὅρκον διδόντας.* M
490. *ἡ μὲν Ἀθηνᾶ ἀπῆλθεν εὐτρεπίσαι δικαστάς, ὁ δὲ Ὀρέστης ἱκετεύων μένει. αἱ δὲ Ἐρινύες φρουροῦσιν αὐτόν. μέλος δὲ οἰκεῖον ἄιδουσι τῆι ἑαυτῶν προαιρέσει.* M
494. *τόδ' ἔργον*] *τὸ μητροκτονεῖν.* M
499. *βροτοσκόπων*] *τῶν τοὺς βροτοὺς ἐπισκοπούντων.* M
500. ⟨*τῶνδ'*⟩] *ἡμῶν δηλονότι.* M
502. πάντ' ἐφήσω μό(ρον)· *οὐκέτι τινὰ μὲν ἔννομον ἡγήσομαι μόρον, τινὰ δὲ οὔ, ἀλλὰ πάντα ἐφήσω μόρον, ὅπως τις βούλεται*

sch. 473b Hesych. *κατηρτυκώς· τέλειος. κυρίως δὲ ἐπὶ τῶν ἀλόγων ζώιων ὅταν ἐκβάλῃ πάντας τοὺς ὀδόντας*

4—5 sch. 465a et 465b separ. Smith cont. inu. ord. **M** || 4 u. 426 || 16 add. Smith

ἀναιρεῖν. οὐ τιμωρήσω τοῖς ἀδικουμένοις, ἀλλὰ συγχωρήσω ἀλλήλους ἀναιρεῖν. M

503. πεύσεται δ' ἄλλος· ἀεὶ τὰ ἀλλήλων ἀκούσονται, καὶ οὐ γίνεται κακῶν ἀνάπαυσις. M

5 **505.** ὑπόδοσιν] διαδοχήν. M

506—507. τλάμων] παθὼν δέ τις μάτην ἑαυτὸν παραμυθεῖται τῆι εἰς ἡμᾶς ἐλπίδι· ἢ ἕκαστος δὲ τῶν φονέων παρηγορηθήσεται. τλήμων γὰρ ὁ ἀναιδής· ἡ δ' ὧδε τλήμων. M

508. κικλησκέτω] ἡμᾶς δηλονότι. M

10 **510.** θροούμενος] θροῶν. M

513. ταῦτα· ἀναιρούμενος πατὴρ ἢ μήτηρ ὑπὸ παιδός. M

515—516. ἐπειδὴ ἀπόλωλε τὸ δίκαιον. MF

518—519. οὐ πανταχῆι τὸ δεινὸν ἀπεῖναι φρενῶν δεῖ. M

519—521. ⟨καθήμενον ... στένει⟩] ὥστε καθήμενον ὑπὸ στένει σω-

15 φρονεῖν, ὡς εἰ ἔλεγεν ὑπὸ τῶι δέει. ἔστι δὲ ἀπ' εὐθείας τῆς τὸ στένος.

522. ἐν φάει] λαμπρότητι, ὀρθότητι φρενῶν. M

526—529. μήτ'] ἀλλὰ τὸν ἠρέμα τούτων ἐφαπτόμενον· παρόσον οἱ μὲν παντάπασι τυραννούμενοι κακῶς βιοῦσιν, οἱ δὲ ἄναρχοι πονηρῶς. M

530a. ἄλλα] ἄλλα ἄλλως ἐφορᾶι ὁ θεός. M

20 **530b.** ἔσθ' ὅπη δέους. M

532. ξύμμετρον] σύντομον. M

534. ⟨δυσσεβείας⟩] ὕβριν γεννῶσα· οἱ γὰρ ἀρξάμενοι τοῦ θείου καταφρονεῖν ὑβρίζουσι τοὺς ἀνθρώπους. M

535—536. ἐκ δ' ὑγιείας φρενῶν· ἐκ τοῦ ὀρθὰς ἔχειν φρένας·

25 νόσον μὲν φρενῶν τὴν δυσσέβειάν φησιν, ὑγίειαν δὲ ἐξ ἧς ἂν εἴη τιμή· ἐξ ἐκείνης δὲ ὕβρις. M

538. ἐς τὸ πᾶν] καθολικῶς λέγω τὸ ἐπιφερόμενον. M

540. νιν] τὴν δίκην. M

550. ⟨ἀνάγκας ἄτερ δίκαιος ὤν⟩] ὁ χωρὶς ἀνάγκης δίκαιος ὤν. M

30 **553a.** τὸν ἀντίτολμον] τὸν τὰ ἐναντία τοῖς εἰρημένοις τολμῶντα ἀντὶ τὸν ἄδικον. M

553b. ⟨περαιβάδαν⟩] παραβεβηκότα. M

7—8 sch. Soph. El. 275

6 παραμυθεῖται M[ac] παραμυθεῖ M[pc] || **8** Soph. El. 275 || **12** παρόλωλε M || **17** τὸν Mi τῶν M || **19—20** sch. 530a et 530b separ. Heath cont. M || **20** ad sch. 518—519 trax. Weil hoc modo ἔσθ' ὅπη δέους ⟨ὄφελον καὶ⟩ οὐ πανταχῆι κτλ. || **25** μὲν Papag. δὲ M | ὑγίειαν δὲ ⟨τὴν ὀρθότητα⟩ Oberdick

554. *παντόφυρτ'*] *πάντοθεν συνηγμένα.* M
555. ⟨*καθήσειν*⟩] *ἀπὸ τῶν χειμαζομένων τροπικῶς ἀντὶ τοῦ ταπεινωθήσεσθαι.* M
556. ⟨*πόνος*⟩] *ἀτυχία.* M
558. ⟨*ἀκούοντας*⟩] *τοὺς θεούς.* M
560—562. ⟨*γελᾶι ... ἄκραν*⟩] *γελᾶι, φησίν, ὁ δαίμων ἐπὶ τῶι ἀδίκωι πάσχοντι, τὸν μηδέποτε προσδοκήσαντα τιμωρεῖσθαι ἰδὼν ἐν μέσηι τῆι δύηι ὑπεζευγμένον καὶ χαλινωθέντα. τοῦτο γὰρ δηλοῖ τὸ λέπαδνον.* M
563. *δι' αἰῶνος*] *τὸν πολυχρόνιον δὲ ὄλβον ἑαυτοῦ προσκρούσας τῶι βράχει τῆς δίκης ὤλετο.* M
566—569. *κληρώσασα Ἀθηνᾶ τοὺς ἀρίστους ἄγει δικάσοντας. καθισάντων δὲ αὐτῶν ἐν μέσωι στᾶσα κελεύει διὰ τῆς σάλπιγγος καὶ τοῦ κήρυκος σιωπὴν γενέσθαι ὡς μὴ ἀρκοῦντος μόνου τοῦ κήρυκος. ὅρα δὲ πῶς τὰ Ἀθηναίων ἔθη ἀναχρονίζει· ἃ γὰρ νῦν γίνεται, ταῦτα τὴν Ἀθηνᾶν εἰσήγαγε λέγουσαν. ἐχρῶντο γὰρ τῆι σάλπιγγι ἀνείργειν τὸ πλῆθος θέλοντες.* M
566. *κατεργάθου*] *κάτεχε, κώλυε.* M
567. *λείπει.* F
571. ⟨*ἀρήγει*⟩] *συμφέρει.* M
572. ⟨*αἰανῆ*⟩] *διηνεκῆ παρὰ τὸ αἰεί.* M
573. ⟨*τόνδ'*⟩] *τῶν Ἀρειοπαγιτῶν.* M
574a. *ἐν παραχορηγήματι αὐτῶι εἰσιν οἱ Ἀρειοπαγῖται μηδαμοῦ διαλεγόμενοι.* M
574b. ⟨*ὧν*⟩] *ὧν ἐκληρώθης, δηλονότι μαντείων. παραφανέντος δ' Ἀπόλλωνος ταῦτά φησιν.* M
576. ⟨*μαρτυρήσων*⟩] *μαρτυρήσων ὅτι οὐκ ἔστιν ἐναγής· ἐκάθηρα γὰρ αὐτόν.* M
579. ⟨*ξυνδικήσων*⟩] *σύνδικοι λέγονται οἷς ἴσον μέτεστιν ἐν τῆι δίκηι τῆς αἰτίας.* M
582a. *ὑμῶν*] *τῶν Ἐρινύων.* M

21 sch. Pind. Isth. I 69b

2 *ταπεινωθήσεσθαι* Vict. *ταπεινωθήσεται* M || **6** *ἀδίκωι* Stanley *ἀδίκως* M || **11** *βράχει* Abr. *βραχεῖ* M || **15** *Ἀθηναίων* Papag. *νέων* M || **19** spectat ad lac. u. 567 || **23—24** huc trax. Dd. summo margine paginae uu. 597—643 continentis M || **23** *παραχορηγήματι* Dd. *περιχωρήματι* M cf. sch. uet. A. Prom. 12 || uu. 582—644 desunt in GFE

582b. ὅρα τὸ δικαστήριον. M
583. διώκων] κατηγορῶν. M
585. ⟨πολλαὶ⟩] τοῦτο οὐ πρὸς τὰς τρεῖς, ἀλλὰ πρὸς τὸν χορόν· ιε′ γὰρ ἦσαν. M
5 **586—587.** ⟨ἔπος δ' ἀμείβου⟩] ῥητορικῶς πυνθάνονται. εἰ μὲν ὁμολογοίη, ὑπεύθυνος ἔσται, εἰ δὲ ἀρνοῖτο, ἐλεγχθήσεται. καὶ Ἀχιλλεὺς πρὸς τοὺς πρέσβεις· τί δὲ λαὸν ἀνήγαγεν ἐνθάδ' ἀγείρας Ἀτρείδης; διὰ γυναῖκα. M
589. ⟨ἓν μὲν⟩] ἓν πέπτωκας. ἡ μεταφο(ρὰ) δέ ἐστιν ἀπὸ τῶν παλαιόν-
10 των, οἳ ἐπὶ τοῖς τρισὶ πτώμασιν ὁρίζουσι τὴν ἧτταν. M
592. ⟨ξιφουλκῶι χειρὶ⟩] πλανᾶται. αἱ μὲν γὰρ τὴν αἰτίαν τοῦ φόνου πυνθάνονται, ὁ δὲ πρὸς τὸ πῶς, ξίφει φησίν, ὡς τὸ μὴ δι' ἐμὴν ἰότητα. M
596a. ⟨δεῦρό γ' ἀεὶ⟩] ἕως δεῦρο. M
15 **596b.** δεῦρο] τὸ ἀεὶ ἀντὶ τοῦ ἕως τάττουσιν Ἀττικοὶ πολλάκις· δεῦρο μέν μοι τόνδ' αἰεὶ τείνει λόγον. M
596c. ⟨τὴν τύχην⟩] τὴν πρᾶξιν. M
597. τάχα] ἀντὶ ἴσως. M
598. ⟨πέμπει⟩] ὡς ὑμᾶς ἔπεμψεν ἡ μήτηρ, οὕτω βοηθοὺς κἀμοὶ
20 πέμψει ὁ πατήρ. M
600. προσβολὰς] συντυχίας. M
601. ⟨δίδαξον⟩] πανούργως φασί, μὴ ἡμᾶς δίδασκε, ἀλλὰ τοὺς δικαστάς. M
602. ⟨πατέρ' ἐμὸν⟩] ἐμὲ κἀκεῖνον ἠδίκησεν. M
25 **603.** πῶς οὖν λέγεις ὅτι ἠδίκησέ με; πῶς δὲ Ἀγαμέμνονα, ὅπου ἀπέθανε δι' αὐτόν;
604. τί δ'] οὐκ, εἰ τέθνηκεν, τούτου αἰτία εἶ σύ, ἐπεὶ οὐ ζῶσαν ἐδίωκες, ὥστε οὐδὲ ἀποθανοῦσα διὰ τὴν σὴν αἰτίαν ἀπέθανεν. M
606. ⟨ἐγὼ δὲ⟩] ἐγὼ οὖν ὅμαιμός εἰμι τῆι μητρί. M
30 **608.** ⟨ἀπεύχηι⟩] ἀπαρνῆι. M
609. ⟨σὺ μαρτύρησον⟩] ὡς ἀπορῶν τῆς ἀποκρίσεως. ἐπεὶ γὰρ ἦλθεν εἰς τὴν διάκρισιν τοῦ δικαίως ἢ μὴ ἀνῃρηκέναι τὴν μητέρα, ἐπὶ τὸν

14—16 sch. Eur. Med. 670 Ba. 33, 25 Hesych. ἀεί

7—8 Hom. *I* 338—339 ‖ 9 ἓν πέπτωκας Weil ἐμπέπτωκας M ‖ 12—13 Hom. *O* 41 ‖ 15 ἀντὶ Smith ἐπὶ M ‖ 15—16 fr. adesp. 148 N. ‖ 19 ὑμᾶς Heath ὑμῖν M ‖ 26 αὐτόν Linwood αὐτήν M ‖ 27 ἐπεὶ οὐ ζῶσαν ἐδίωκες Weckl. πῶς ἂν ἐδίωκες M οὐ γὰρ ζῶσαν ἐδίωκες Weil ‖ 28 ὥστε M[pc] ὅς τε M[ac]

συμβουλεύσαντα θεὸν καταφεύγει. τραγικὸν οὖν καὶ πρέπον· ὁμοειδές τε τὸ ⟨αὐτὸν⟩ πάντα λέγειν. M

615. *⟨θεσμὸν⟩] τὸν Ἀρεοπαγιτικόν.* M

618. *⟨κελεύσει⟩] ὥστε ἐμοὶ μὲν Ζεύς, ἐγὼ δὲ τούτωι προσέταξε· οὐκ ἄνευ Διὸς οὖν τὸ γενόμενον.* M 5

619. *⟨μαθεῖν⟩] ἀντὶ τοῦ μάθε, ὦ βουλή.* M

620. *⟨πιφαύσκω⟩] κελεύω δὲ ὑμᾶς πεισθῆναι τῆι βουλῆι τοῦ Διός.* M

624. *πράξαντα] ἐκδικήσαντα.* M

626. *⟨τιμαλφούμενον⟩] συνεχὲς τὸ ὄνομα παρ' Αἰσχύλωι· διὸ σκώπτει αὐτὸν Ἐπίχαρμος.* M 10

632a. *⟨ἀμείνον'⟩] βελτίονα.* M

632b. *⟨τὰ πλεῖστ'⟩] ⟨τὰ⟩ πλεῖστα ηὐτυχηκότα ἀπὸ στρατείας.* M

633a. *⟨δροίτη⟩] πυέλωι, τῆι ὡς σορῶι αὐτῶι γενομένηι, παρὰ τὴν δρῦν. ξύλιναι γὰρ αὗται.* M

633b. *κἀπὶ τέρματι] τῶν λουτρῶν δηλονότι.* M 15

634a. *⟨περεσκήνωσεν⟩] παρεσκήνησεν· ⟨τὸ χ⟩ πρὸς τὴν συναλοιφὴν τῆς π ε ρ ὶ καὶ τὴν συζυγίαν τοῦ ῥήματος.* M

634b. *ἀτέρμονι] ἀτραχήλωι.* M

638a. *τοιαύτην] τὴν Κλυταιμήστραν.* M

638b. *⟨λεώς⟩] οἱ δικασταί.* M 20

640. *⟨πατρὸς προτιμᾶι⟩] ὡς λέγεις σύ, πατέρα προτιμᾶι μητρὸς ὁ Ζεύς.* M

642. *⟨ἐναντίως λέγεις⟩] οὐ τὸν Δία προέθετο κακῶς εἰπεῖν, ἀλλὰ τὸν Ἀπόλλωνα ὡς ψευσάμενον βούλεται ἐλέγξαι.* M

643. *⟨ὑμᾶς⟩] ὦ κριταί.* M 25

652a. *σκόπει πῶς δικαιοῖς Ὀρέστην φεύγειν.* M

652b. *⟨πῶς γὰρ⟩] ἐκ τῆς Ἀπόλλωνος ἀπολογίας κατακρίνουσιν Ὀρέστην. εἰ γὰρ τὸν φονέα οὐχ οἷόν τε τὸν φόνον ἀνακαλέσασθαι, πῶς Ὀρέστης φονεύσας ἐλευθερωθήσεται;* M

659. *⟨κύματος⟩] κυήματος.* M 30

660. *⟨ὁ θρώισκων⟩] ὁ σπερμαίνων.* M

13—14 Et. Gen. *δροίτη· ἡ πύελος. ὁ δὲ Αἰτωλός φησι τὴν σκάφην ἐν ἧι τιθηνεῖται τὰ βρέφη. Παρθένιος δὲ τὴν σορὸν καὶ Αἰσχύλος* E. M. 288, 3 cf. sch. Lycophr. 1108 Hesych. *δροίτη* Theogn. 117, 29 Arcad. 132, 3 Schmidt

1 *πρέπον* Vict. *τρέπον* M ‖ 2 add. Blass ‖ 10 fr. 214 Kaibel ‖ 11—12 sch. 632a et 632b separ. Weckl. cont. M ‖ 12 add. Smith ‖ 16 add. Francken | *συναλοιφὴν* Mi Mc *συναλιφὴν* M ‖ 21 *σύ* Paley *οὖν* M

661. ⟨*ἔρνος*⟩] *ὡς παρακαταθήκην.* M
663. ⟨*γένοιτ'*⟩] *γεννήσειεν.* M
667 a. ⟨*Παλλάς*⟩] *ὦ Παλλάς.* M
667 b. ⟨*ὡς ἐπίσταμαι*⟩] *ὅσον δύναμαι.* M
5 **672.** ⟨*αἰανῶς*⟩] *δι' αἰῶνος.* M
673. *ἐπισπόρους*] *ἀπογόνους.* M
674. *φέρειν*] *ὃ δοκιμάζεται.* M
678. ⟨*πῶς τιθεῖσ'*⟩] *τί τιθεῖσα μέμψιν παρ' ὑμῶν οὐχ ὑπομενῶ;* M
682. ⟨*πρώτας*⟩] ⟨*σημείωσαι*⟩ *ὅτι πρώτη ἐπὶ Ὀρέστηι γέγονεν δίκη ἐν*
10 *τῶι Ἀρείωι πάγωι.* M
686. ⟨*φθόνον*⟩] *μῆνιν.* M
688. ⟨*τήνδ'*⟩] *τὸν Ἄρειον πάγον. ἐν αὐτῶι γὰρ ἐστρατοπέδευσαν.* M
689. ⟨*ἔνθεν*⟩] *ὅθεν Ἄρειος πάγος ἐκλήθη.* M
690. ⟨*δὲ*⟩] *ὁ δὲ ἀντὶ τοῦ γάρ.* M
15 **697—698.** ⟨*βουλεύω*⟩] *συμβουλεύω τοῖς ἐμοῖς πολίταις δημοκρατεῖσθαι μέν, ὑπὸ φόβον δὲ* [*μὴ*] *εἶναι.* M
705. ⟨*εὑδόντων ὕπερ*⟩] *ὑπὲρ τῶν ἀποθανόντων τιμωρόν.* M
718. *καθάρας τὸν πρωτομυσῆ 'Ιξίονα.* M
720. ⟨*ὁμιλήσω*⟩] *ἐπ' ἀπειλὰς τρέπονται ἀφεῖσαι τὴν δικαιολογίαν.* M
20 **730.** ⟨*ἐμῆι*⟩] *ἐκβαλεῖς τὴν ὀργὴν οὐδὲν δυναμένην βλάψαι τοὺς ἐχθρούς.* M
731. *καθιππάζηι*] *κατατρέχεις.* M
733 a. ⟨*ὡς ἀμφίβολος*⟩] *τέως γὰρ ἐν ἀμφιβόλωι ἔχω τὸ ὀργίζεσθαι.* M
733 b. *ἀμφίβολος*] *ἀμφιβάλλουσα.* M
25 **735.** ⟨*προσθήσομαι*⟩] *ἐγὼ προσθήσω τὴν ἐσχάτην ψῆφον, ἧι, ὅταν ἴσαι γένωνται, νικᾶι ὁ κατηγορούμενος.* M
741. ⟨*κἂν ἰσόψηφος κριθῆι*⟩] *κἂν ἴσαι δὲ γένωνται αἱ ψῆφοι, ὁ κατηγορούμενος νικᾶι.* M
743. ⟨*ὅσοις*⟩] *ὁ ἀριθμὸς τῶν Ἀρεοπαγιτῶν λ' καὶ εἷς.* M
30 **746.** ⟨*νῦν ... τέρματ'*⟩] *νῦν μοι ζωὴ ἢ θανάτου τέλος.* M
747. ⟨*νέμειν*⟩] *ἢ τὰς πρώην ἔχειν τιμάς.* M
749. *διαιρέσει*] *διακρίσει τῶν λευκῶν καὶ μελαινῶν.* M

12—13 Et. Gen. AB *Ἄρειος πάγος* E. M. 139, 10 Et. Gud. 190, 13 de Stef.

9 add. Mi || 16 del. Papag. || 20 *ἐκβαλεῖς* Blass *ἐκβάλλεις* M | *δυναμένην* Paley *δυναμένη* M || 25 *ἧι ὅταν* Herm. *ἢ ὅτι ἂν* M || 27—28 huc trax. Kueck ad 753 adscr. M || 29 *λ'*] *ν'* Petit

750. *γνώμης· ἀντὶ ψήφου. ὁ τρόπος συνεκδοχή, ἀπὸ τοῦ προηγουμένου τὸ ἀκόλουθον. τὸν γὰρ μέλλοντα βάλλειν ψῆφον δεῖ πρῶτον ἐν γνώμηι γενέσθαι.* M
751. *⟨βαλοῦσα ... μία⟩] ἡ ψῆφος δὲ βαλεῖν τε καὶ ὀρθῶσαι οἶκον δύναται.* M
760. *⟨Σωτῆρος⟩] τοῦ Διός.* M
761. *⟨συνδίκους⟩] τὰς συνηγόρους Εὐμενίδας.* M
765. *⟨πρυμνήτην⟩] ἄρχοντα, κυβερνήτην.* M
769. *⟨πράξομεν⟩] τιμωρησόμεθα.* M
770. *παρόρνιθας] ἀπαισίους.* M
772. *⟨ὀρθουμένων⟩] γεννωμένων.* M
776. *⟨πάλαισμ'⟩] τὴν ἐμὴν ἐπικουρίαν.* M
782a. *ἀντιπενθῆ] ἰσοπενθῆ, ὅμοια δρῶντα οἷς πέπονθα.* M
782b. *μεθεῖσα· ἀντὶ μεθήσω. μετοχ(ὴ) ἀντὶ ῥήματος, ὡς τὸ καρπῶι βριθομένη ἀντὶ τοῦ βρίθεται. σταλαγμὸν δὲ τὴν κατὰ βραχὺ φθοράν.* M
783. *χθονιαφόρον] τὸν εἰς τὴν γῆν φερόμενον.* M
785a. *λιχὴν] ψίλωσις.* M
785b. *ἄφυλλος] ἄκαρπος.* M
785c. *ἰώ] τοῦτο διὰ μέσου ὀλοφυρόμεναι ἀναφωνοῦσιν.* M
787. *⟨βαλεῖ⟩] ὁ λειχήν.* M
789—790. *⟨δύσοιστα ... ἔπαθον⟩] ἔμιξε τῶι θρήνωι τὴν τιμωρίαν τεχνικῶς. εἰπὼν γὰρ δύσοιστα ἔπαθον ἐπήγαγεν πολίταις, ἵνα ἦι· πολίταις δύσοιστα ὄντα.* M
789. *⟨γένωμαι⟩] λείπει ὁ ἢ διαζευκτικός, ἢ τί γένωμαι.* M
790. *⟨πολίταις⟩] ὑπὸ τῶν πολιτῶν ἔπαθον.* M
791. *⟨κόραι⟩] κόραι Νυκτός.* M
798. *⟨θήσας⟩] ἔφασκε γὰρ ὁ Ἀπόλλων γνώμηι Διὸς μαντεύεσθαι.* M
802. *⟨σταλάγματα⟩] τὰ σταλάγματα αἰχμαί εἰσι βιβρώσκουσαι τὰ σπέρματα.* M
813. *⟨σταλαγμὸν χθονὶ⟩] λείπει ἐμποιήσω.* M
825. *⟨δύσκηλον⟩] δυσθεράπευτον.* M
831. *⟨καρπὸν⟩] τὸν πάντα ποιοῦντα κακῶς πράττειν.* M

14—15 Ariston. ad Hom. Θ 307 cf. Erbse ad sch. A Hom. Θ 307 cf. sch. Ch. 644b

14—15 Hom. Θ 307 || **16** *φοράν* Schwenk || **21** *λειχήν* Blass *λιχήν* **M** || **31** huc trax. Blass ad 817 adscr. **M**

832 a. κοίμα] κοίμιζε. M
832 b. μένος] τὸν θυμόν. M
833. ⟨σεμνότιμος⟩] λείπει ἐσομένη. M
835. ⟨τέλους⟩] ὡς προτέλεια θυόντων Ἀθήνῃσι ταῖς Ἐρινύσι. τέλος
5 δὲ ὁ γάμος. M
839. ⟨ἀτίετον⟩] ἀνεκδίκητον, τιμωρεῖσθαι μὴ δυναμένην. τὸ δὲ φεῦ
διὰ μέσου ἀναφωνεῖ. M
840. ⟨ἅπαντά τε κότον⟩] ὀργὴν καὶ ἅπαντα κότον πνέω. M
841. δᾶ· ὦ γῆ, Δωρ(ικῶς)· ὅθεν καὶ Δαμάτηρ. M
10 **845.** δαμαίαν] τὴν δημοσίαν ὑπὸ θεῶν δεδομένην.
846. δόλοι] οἱ δόλοι γὰρ τῶν θεῶν ὡς οὐδὲν παρῆράν με τῶν δημοσίων
τιμῶν. M
848. ⟨ξυνοίσω⟩] φέρουσα τὰς ὀργάς. M
849. σοφωτέρα] διὰ τὸν χρόνον. M
15 **851.** ⟨ἐλθοῦσαι χθόνα⟩] λείπει ὁ καί. M
852. ⟨ἐρασθήσεσθε⟩] ἀντὶ μεγάλοι ἔσονται ⟨οἱ⟩ Ἀθηναῖοι, ὥστε ἐπι-
θυμῆσαι τῆς ἐξ αὐτῶν τιμῆς. M
859—860. θηγάνας νέων· τὰς ἀναλισκούσας τὰ νέα. M
860 a. ⟨ἐμμανεῖς⟩] ὅτι καὶ ⟨οἱ⟩ οἰνωθέντες τρόπον ⟨τινὰ⟩ γίνονται
20 ἐμμανεῖς. M
860 b. θυμώμασιν] ὀργαῖς. M
861. ⟨ἐξελοῦσ'⟩] ἀναπτερώσασα· μάχιμον γὰρ τὸ ὄρνεον, τῶν τε
ἄλλων ζώιων τὸ συγγενὲς αἰδουμένων μόνος οὐ φείδεται. M
864 a. θυραῖος] ὁ Περσικός. M
25 **864 b.** ⟨οὐ μόλις παρών⟩] οὐ μακράν. M
866. ⟨ἐνοικίου δ' ὄρνιθος⟩] τῶν ἐνοικούντων πολιτῶν, ὅ ἐστιν ὁμό-
φυλον πόλεμον. M
882—884. τὸ ἑξῆς· πρὸς νεωτέρας ἐμοῦ καὶ πολισσούχων βροτῶν
θεὸς παλαιὰ ἄτιμος ἔρρειν. M
30 **886—889.** εἰ πείθηι τῶι μειλίγματι τῆς ἐμῆς γλώσσης, παράμεινον
καὶ τῶν καταλεχθέντων ἀγαθῶν μεταλάμβανε. εἰ δὲ μὴ πείθηι, ἴσθι
μὴ βλάψουσα πόλιν. M
890. ἀμοίρου] πολυμοίρου. F

4—5 sch. Pind. Nem. X 31 sch. Ar. Th. 973 Et. Gen. τέλος E. M. 750, 48 Hesych. δόμος ἡμιτελής || **9** cf. ad sch. uet. Ag. 1072 || **22** sch. Ar. Av. 835

16 add. Papag. || **19** οἱ add. Abr. | τινὰ add. Rob.

935. *ἀπάγει*] *αὐτόν.* F
946. ⟨*γόνος*⟩] *τὰ σπέρματα.* M
947. *πλουτόχθων*] *ὁ καρπὸς ὁ ἐκ γῆς πλουτίζων.* M
948. ⟨*ἀκούετε*⟩] *ὦ Ἀρεοπαγῖται.* M
1032. *αἱ προπομποί.* MF 5
1044. ⟨*ἔνδαιδες*⟩] *μετὰ λαμπάδων.* M

sch. 998 Erot. 46, 19 *ἴκταρ· ἐγγὺς παρὰ τοῖς Ἀττικοῖς ὡς καὶ Αἰσχύλος ἐν Εὐμενίσι φησί· χαίρετε—Διός* cf. ad sch. uet. Ag. 116

subscr. + *ἰδοὺ πάλιν γε τέρμα τῶν Εὐμενίδων* **GF**

SCHOLIA VETERA IN SVPPLICES

1. *ἀφίκτωρ*] *ἱκετῶν ἔφορος.*
2. *νάιον ἀρθέντα· ⟨***⟩.*
3. *⟨ἀπὸ προστομίων⟩*] *τινὲς τῆς Φάρου· Αἰγύπτου προπάροιθε γάρ ἐστιν. ἄμεινον δὲ τὰ στόμια ἀκούειν, πλεοναζούσης τῆς πρό· διὰ*
5 *γὰρ τοῦ Ἡρακλεωτικοῦ στομίου τὴν φυγὴν ἐποιήσαντο.*
4. *⟨δὲ⟩*] *ὁ δὲ ἀντὶ τοῦ γάρ.*
6. *οὔτιν' ἐφ' αἵματι· οὐκ ἐφ' αἵματί τινι καταγνωσθεῖσαι ψήφωι πόλεως δημοσίαι ἡμᾶς ἀπελαυνούσηι.*
8. *φυλαξάνορα ν· γάμον φυγὴν ἀνδρῶν ἡμῖν ἐμποιοῦντα.*
10 **9.** *ἀσεβῆ*] *ὃν οὐ σέβομεν ἡμεῖς οὐδὲ τιμῶμεν.*
12a. *στασίαρχος*] *τῆς συστάσεως ἡμῶν ἄρχων.*
12b. *τάδε πεσσονομῶν*] *ὑπὲρ τούτων λογιζόμενος.*
13. *⟨κύδιστ' ἀχέων⟩*] *ἀμείνονα τῶν κακῶν ἐψηφίσατο τὴν φυγήν. κακὸν ὁ γάμος, κακὸν δὲ καὶ ἡ φυγή, αἱρετώτερον δὲ τὸ φεύγειν.*
15 **21.** *ἐγχειριδίοις*] *τοῖς ἱκετηρίοις θαλλοῖς.*
22. *ἱεροστέπτοισι κλάδοισι*] *τοῖς στεφάνοις.*
24—25. *βαρύτιμοι*] *οἱ βαρέως τινύμενοι καταχθόνιοι θεοί. τὸ δὲ ὕπατοι ἀπὸ ἄλλης ἀρχῆς.*
26. *τρίτος οἰκοφύλαξ· ὁ τριτόσπονδος, ἢ ὁ τρίτος τῶν εἰρημένων.*
20 *εἶπε γὰρ ὕπατοι θεοὶ καὶ χθόνιοι καὶ Ζεὺς σωτὴρ τρίτος.*
27. *δέξαιθ' ἱκέτην· δέξαιτο ἡμᾶς τῶι τῆς χώρας αἰδεσίμωι πνεύματι, ὅ ἐστιν αἰδῶ ἐπιπνεύσας τοῖς ἡμᾶς δεχομένοις Ἀργείοις.*

sch. 14 E. M. 103, 10 *ἀνέδην· σημαίνει τὸ ἀναστάτους εἶναι παρὰ τὸ ἕδος ἕδην καὶ ἀνέδην τὸ ἄνευ ἕδους. Αἰσχύλος· φεύγειν ἀνέδην* (om. *Αἰσχύλος— ἀνέδην* Et. Gen. et codd. PD Etymologici Magni, fort. est interpolatio) cf. Hesych. *ἀνέδην* || **sch. 17** Hesych. *ἐξ ἐπαφῆς· ἐκ ψηλαφήσεως* || **15** Poll. II 154 *ἐγχειρίδιον … Αἰσχύλος … τὰς ἱκετηρίας* || **19—20** cf. Drachmann ad sch. Pind. Isth. VI 10a

Codex unicus **M**
2 *νάιον ἀρθέντα* t. *ναιοναροεντα* **M** | lac. indic. Smith || **3—5** huc trax. Paley ad 2 adscr. **M** | post *Φάρου* dist. Weckl. post *Αἰγύπτου* **M** | Hom. δ 355 || **11** *συστάσεως* **Mc Md** *συσστάσεως* **M** || **12** *ὑπὲρ τούτων* Abr. *ὑπττούτων* **M**

31 a. *ἀσώδει*] *πηλώδει.*
31 b. *ἀσώδει*] *ψαμμώδει. τὴν γὰρ ψάμμον οὕτως φησὶν ὡς ὁ ποιητής· εἰλύσω ψαμάθοις τόσην οἱ ἄσιν.*
33—36. ⟨*πέμψατε ... ὄλοιντο*⟩] *τὸ ἑξῆς οὕτως· πέμψατε πόντονδε, ἔνθα ἀντήσαντες λαίλαπι χειμωνοτύπωι, βροντῆι, στεροπῆι τε, ὀμβροφόροισί τε ἀνέμοις ἀγρίας ἁλὸς ὄλοιντο.*
37. ⟨*ὧν θέμις εἴργει*⟩] *ὧν τὸ δίκαιον ἡμᾶς εἴργει διὰ τὸ μὴ θανατωθῆναι τὸν πατέρα.*
38. *πατραδελφίαν*] ⟨*συγγένειαν τὴν τῶν*⟩ *ἀνεψιῶν τῶν ἐκ τοῦ ἀδελφοῦ τοῦ πατρὸς αὐτῶν.*
40—45. ⟨*ἐπικεκλομένα ... ἔφαψιν*⟩] *ἐπικαλούμεθα τὸν Ἶνιν τῆς βοὸς τὴν ἐπαφὴν τὴν ἐξ ἐπιπνοίας τοῦ Διός.*
41. *Δῖον πόρτιν*] *τὸν Ἔπαφον.*
42. *τιμάορα· βοηθόν.*
45. ⟨*ἔφαψιν*⟩] *τὴν ἐξ ἐρωτικῆς διαθέσεως. ἐπέπνευσε γὰρ αὐτῶι ὁ Ἔρως.*
45—46. *ἐπωνυμίαι*] *τῆι δὲ ἐπωνυμίαι ἐβεβαιοῦτο ὁ εὔμοιρος αὐτοῦ βίος. ὡς γὰρ τῆς γονῆς ἐφήψατο Ζεύς, οὕτως καὶ τῆς τύχης.*
49—54. ⟨*ὄν τ' ... τεκμήρια*⟩] *τὸ ἑξῆς· ὃν ἐπικαλουμένη νῦν ἐν Ἄργει δείξω πιστὰ τεκμήρια, ὡς οὐ ξένη οὖσα ἐλεύσομαι, ἀλλ' εἰς προγόνων γῆν.*
49 a. *ἐπιλεξαμένα*] *ἐπικαλουμένη.*
50. *ἐν ποιονόμοις*] *ἐν Ἄργει οὗ ἐνέμετο ἡ Ἰώ.*
52. *πρόσθε πόνων*] *τῆς Ἰοῦς τοὺς πόνους ἐγὼ διηγουμένη.*
56. *ἐν μάκει*] *προϊόντος τοῦ λόγου.*
58. *οἰωνοπόλων*] *τῶν φωνὰς οἰωνῶν γινωσκόντων.*
59. *τις*] *πλεονάζει τὸ τις.*
60—61. *Τηρείας μήτιδος· κατὰ περίφρασιν τοῦ Τηρέως.*
62. *κιρκηλάτου*] *τῆς ὑπὸ κίρκων ἐλαυνομένης.*
63. *ἐργομένα*] *διωκομένη.*
64. *ἠθέων· τῶν συνήθων τόπων.*

2—3 Et. Gen. (= E. M. 153, 22) || 7 *θανατωθῆναι* fort. respicit ad fabulam narratam ap. sch. D Hom. *Α* 42 et sch. uet. A. Prom. 853a || **sch. 49b** Hesych. *ἐπιλεξαμένη· ἐπικαλεσαμένη*

2 *φησὶν* Vitelli *φασιν* **M** || 3 Hom. *Φ* 319sqq. || 4 *πόντονδε* **Mi** *πόντον δὲ* **M** || 6 *ὄλοιντο* Vict. *ὤλοιντο* **M** || 9 add. Whittle || 20 *ξένη οὖσα* Weckl. *ξένος ὢν* **M** | *ἐλεύσομαι* C. G. Haupt *ἐλεύσεται* **M** || 28 *περίφρασιν* Abr. *παράφρασιν* **M**

69. *⟨Ἰαονίοισι νόμοισι⟩] ἀντὶ τοῦ φωνῆι Ἑλληνικῆι.*
71. *Νειλοθερῆ] τὴν ἐν τῶι Νείλωι θερισθεῖσαν, ὅ ἐστι βλαστήσασαν ἐν Αἰγύπτωι. ἀπὸ τῶν σταχύων δὲ ἡ μεταφορά.*
73. *γόεδνα· τῶν γόων τὸ ἄνθος ἀποδρέπομαι.*
5 75. *ἀερίας ἀπὸ γᾶς· σκοτεινῆς, μέλαινα γάρ ἐστιν. ἢ ὅτι ταπεινὴ καὶ τοῖς ἀπὸ θαλάσσης ὡς ὑπόγειος φαίνεται.*
77. *ἀλλὰ θεοί· ἀλλ' ὦ γενέται θεοί, ⟨κλύετε⟩ καλῶς τὸ δίκαιον ὁρῶντες. καὶ Ἡσίοδος· κλῦθι ἰδὼν ἀίων τε.*
79. *ἥβαι] τὴν τῶν Αἰγυπτιαδῶν.*
10 82. *γάμοις] ἐπὶ τοῖς νενομισμένοις καὶ δόξασιν ὑμῖν.*
83. *ἔστι δὲ κἀκ πο(λέμου)· καὶ τοῖς ἐκ πολέμου δὲ τειρομένοις καὶ φεύγουσιν ὁ βωμὸς διὰ τὸ τῶν δαιμόνων σέβας ῥῦμα τῆς βλάβης ἐστίν. ἢ οὕτως· καὶ τοῖς ὑπὸ πολέμου τειρομένοις καὶ τετραμμένοις εἰς φυγὴν ὁ βωμὸς Ἄρης ἐστίν· ὑπερμαχεῖ γὰρ αὐτῶν, καὶ οὐδὲν πά-
15 σχουσι διὰ τὸ σέβας τῶν θεῶν.*
85. *σέβας] λείπει ἡ διά.*
87. *⟨Διὸς ἵμερος ... ἐτύχθη⟩] γνωμικῶς παρὰ τὸ ἀνὴρ δέ κεν οὔτι Διὸς νόον εἰρύσαιτο.*
88. *πάνται τοι φλεγέθ(ει)· ἐν παντὶ τόπωι λάμπει, κἂν διὰ σκό-
20 του χωρῆι. τοῖς μὲν ἀνθρώποις οὐκ εὐσύνοπτός ἐστιν, ἀλλὰ μέλαινά τις αὐτοὺς κατέχει συντυχία.*
91a. *πίπτει δ' ἀσφα(λές)· εἰ δέ τι ἀνυσθῆι τῶι νεύματι τοῦ Διός, ἀσφαλῶς πίπτει καὶ εὐσχημόνως. τὸ γὰρ ἐπὶ νώτωι πίπτειν τοὺς παλαιστὰς ἄσχημόν ἐστιν.*
25 91b. *πίπτει δ' ἀσφαλὲς] ἀσφαλῶς ἀποβαίνει.*
91c. *ἀσφαλὲς] εὐσχημόνως.*
91d. *ἐπὶ νώτωι] ἀσχημόνως.*
93—95. *δαυλοὶ ... πόροι] πυκνοὶ γάρ εἰσιν οἱ τῶν πραπίδων αὐτοῦ τοῦ Διὸς πόροι.*
30 97. *πανώλεις] τοὺς τοῦ ὀλέσθαι ἀξίους, ὅ ἐστι κακούς.*
101a. *ἥμενον] ἢ τὸ ἄνω ἱδρυμένον ἢ τὸ ἑδραῖον.*
101b. *ἥμενον ἄνω φρόνημ(α)· τὸ δὲ φρόνημα αὐτοῦ ἐπὶ τῶν ἁγνῶν ἑδρασμάτων ἐφήμενον ἐξέπραξε τὸν σκοπὸν ἑαυτοῦ.*

5 sch. A. R. I 580a Et. Gen. *ἠερία* E. M. 421, 11

4 *γοεδνά* Herm. | *ἀποδρέπομαι* **Mi Md** *ἀποτρέπομαι* **M** || 7 add. Paley || 8 Hes. Op. 9 || 10 *ὑμῖν* Wil. *ἡμῖν* **M** || 17—18 Hom. Θ 143 || 19 *κἂν* Vict. *κὰν* **M** || 21 *αὐτοὺς* Vict. *αὐτοῖς* **M** || 32—p.69,1 sch. 101b et 102 separ. Smith post Paley cont. **M**

102. *αὐτόθεν*· ἀπὸ τῶν ἁγνῶν ἑδρασμάτων, ὅ ἐστι τοῦ οὐρανοῦ.
105. *πυθμήν*· αὐτὸς ὁ Αἴγυπτος.
106. [*τὸ θάλος*]· ἡ ῥίζα τῶν πεντήκοντα παίδων, ὅ ἐστιν αὐτὸς ὁ Αἴγυπτος.
106—110. ⟨*τεθαλώς*⟩· οὐ φύλλοις, ἀλλὰ τῆι ἀνοίαι τῶν παίδων 5 ἑαυτοῦ· καὶ διάνοιαν μαινόλιν ἔχων, ὅπερ ἐστι κέντρον ἄφυκτον.
111. ἀπάται] τῆι ἀπατητικῆι.
113. *δακρυοπετῆ*· παρασκευαστικὰ τοῦ πίπτειν τὰ δάκρυα τῶν ἀκουόντων.
117a. ἱλέωμαι] ἱλάσκομαι. 10
117b. βοῦνιν] τὴν γῆν κατὰ βαρβάρους.
119. εὐακοννεῖς] ὦ γῆ, νοεῖς καὶ τὴν βάρβαρον φωνήν.
121. καλύπτραι] τῶι κεφαλοδέσμωι.
122. *θεοῖς δ' ἐναγέα*· ὅπου δὲ θάνατος ἀπῆι, ἐκεῖ τῶν ἀνθρώπων εὐπραγούντων τιμαὶ τοῖς θεοῖς ἐπιτρέχουσιν. *ἐναγέα* δὲ ἐναγίσματα. 15
126. δυσάγκριτοι] δυσδιάγνωστοι.
127. ἀπάξει] ἡμᾶς.
131. ⟨ἐμπιτνῶ ξὺν λακίδι⟩] τῶι διασχισμῶι ἐμπίπτω.
134—135. *λινορραφὴς δόμος δορός*· ἡ ναῦς, παρόσον τρυπῶντες τὰς ναῦς σπάρτοις αὐτὰς συνέρραπτον. καὶ τὸ παρ' Ὁμήρωι *νῆας* 20 *ἀκειόμενον* τὸ συρράπτοντα δηλοῖ, ὅθεν καὶ ἀκεστρίας τὰς ῥαπτρίας φασίν.
135. ἅλα στέγων] τὴν θάλατταν εἴργων.
138—140. τελευτᾶς ... κτίσειεν] ⟨***⟩ ἴσως οὖν πρὸς τὴν ἀρχὴν ἔσται καὶ τὸ τέλος. 25
141. ⟨σπέρμα⟩] ὁ Ἔπαφος.
143. ἐκφυγεῖν] λείπει τὸ δοίη.
144. ⟨θέλουσαν⟩] θέλουσάν με εἶναι ἁγνήν.
145—147. μ' ἐπιδέτω ... ἀσφαλές] ἀσφαλῶς ἐπιδέτω με.
149. ⟨ἀδμήτα⟩] ἡ παρθένος ἡμᾶς τὰς παρθένους. 30

sch. 117c Hesych. *βοῦνις*· γῆ. Αἰσχύλος cf. Et. Gen. βοῦνις E. M. 208, 3 || 21 sch. Hom. ξ 383 E. M. 46, 34 Eust. 1764, 60 sch. Luc. 258, 8 Reitzenstein, Geschichte d. griech. Etym. 396, 3 || **sch. 136** Hesych. *ἀχείμαστον*· ἀτάραχον

3 del. Marckscheffel cf. sch. 106—110 || 5 add. Marckscheffel e sch. 106 || 12 ὦ Francken ὡς **M** || 20—21 Hom. ξ 383 || 21 ἀκειόμενον Hom. ἀκειάμενον **M** | συρράπτοντα Kirchhoff συρράπτοντες **M** | ῥαπτρίας Vict. ῥάπτιας **M** || 22 φασίν **Md** φησί **M** || 24 lac. indic. Smith cf. Class. et Med. 28, 82 || 24 ἔστω Abr.

150. *ῥύσιος γενέσθω*] ἀντὶ τοῦ ῥυσάσθω.
154a. *εἰ δὴ μή*] εἰ δὲ μὴ ῥύσεται.
156. *τὸν ταιον*] τὸν καταχθόνιον Ἅιδην.
162—163. ⟨*ἄζην ... ἐκ θεῶν*⟩] ὦ Ζεῦ, ἡ παρὰ τῶν θεῶν μῆνις κατὰ
5 Ἰοῦς ἰώδης ἐστὶ καὶ μαστιγωτική.
165. ⟨*γαμετουρανόνεικον*⟩] τὴν τῆς Ἥρας τῆς ἐν ⟨τῶι⟩ ἀνδρὶ νικώσης πάντας τοὺς ἐν οὐρανῶι θεούς. καὶ ἐφ' ἡμᾶς οὖν ἔφθασεν ἡ μῆνις τῆς Ἥρας.
166—167. ⟨*χαλεποῦ ... χειμών*⟩] πρὸς τὸ ἄνω τοῦτο· τὸν πολυξε-
10 νώτατον Ζῆνα τῶν κεκμηκότων ἱξόμεσθα· χαλεποῦ γὰρ ἐκ πνεύματος εἶσι χειμών· τὰ δ' ἄλλα διὰ μέσου ἀναπεφώνηται.
168. *καὶ τότ' οὐ δικαίοις*· τὸ ἑξῆς· καὶ τότε οὐ δικαίοις ἐνεύξεται Ζεὺς λόγοις, νῦν ἔχων παλίντροπον ὄψιν λιταῖς. οὐκ εὐαπολόγητος ἔσται, φασίν, ὅταν ἡμᾶς παρίδηι ἀπολλυμένας.
15 **177.** *ναυκλήρωι*] ἐξάρχωι.
178. *καὶ τἀπὶ χέρσου*] ὡς τὰ ἐν θαλάσσηι.
179. *δελτουμένας*] ἀπογραφομένας.
187. ⟨*στόλον*⟩] τὸν πρὸς ἡμᾶς στόλον μετὰ ὁρμῆς ποιεῖται.
189. ⟨*ἀγωνίων θεῶν*⟩] στρογγύλα γάρ ἐστι τὰ ἱερεῖα καὶ γωνίας οὐκ
20 ἔχοντα.
191. *λευκοστεφεῖς*] λευκοῖς ἐρίοις ἐστεμμένας.
192—193. ⟨*ἀγάλματ' ... συνωνύμων*⟩] ὅ ἐστιν ἀντέχεσθε τῆι δεξιᾶι τῶν ἀγαλμάτων, τῆι ἀριστερᾶι τοὺς κλάδους κατέχουσαι.
200—201a. ⟨*πρόλεσχος ... γένηι*⟩] μήτε προτέρα κατάρχου τοῦ λόγου
25 μήτε ἀμειβομένη μακρολόγει.
200—201b. ⟨*πρόλεσχος ... γένηι*⟩] πολλὰ προοιμιάζου.
202. ⟨*χρεῖος εἶξεν*⟩] ἐπικουρίας χρήιζεις.
203. *γνώμη*.
206. ⟨*γεννήτωρ*⟩] ὁ ἔφορος τοῦ γένους.
30 **208.** ⟨*θρόνους ἔχειν*⟩] ὡς αὐτοῦ ἤδη καθεσθέντος.
209. *οἴκτειρε μὴ ἀπολωλότας*] μὴ μετὰ τὸ ἀπολέσαι οἰκτειρήσηις ἡμᾶς.

sch. 154b Hesych. *μελανθές· μέλαν* ‖ **sch. 159** Hesych. *ἱξόμεθα· ἱκετεύσομεν*

5 *ἰώδης* Herm. *ὠδῆς* M ‖ 6 add. Wil. *ἐν ἀνδρείαι* Rob. *εὐανδρίαι* Paley ‖ 10 *ἱξόμεσθα* Vict. *ἱξόμεθα* M ‖ 14 *φασίν* Keck *φησίν* M | *ἀπολλυμένας* Vict. *ἀπολλυμένους* M ‖ 17 *ἀπογραφομένας* MiMd *ἀπογραφουμένας* M ‖ 31 *ἀπολέσθαι* Steph.

212. *⟨ὄρνιν τόνδε⟩] τὸν ἥλιον· ἐξανίστησι γὰρ ἡμᾶς ὡς ὁ ἀλεκτρυών.*
218a. *⟨ὁρῶ⟩] ἐν γραφῆι.*
218b. *θεοῦ] τοῦ Ποσειδῶνος.*
220. *ἄλλος] ὡς τῶν Αἰγυπτίων ἄλλως αὐτὸν γραφόντων.*
224. *⟨ὁμοπτέρων⟩] τῶν συγγενῶν ὑμῖν.* 5
226. *⟨ὄρνιθος⟩] τοῦ ὁμογενοῦς.*
227. *ἄκοντος πάρα] παρὰ πατρὸς ἄκοντος.*
231. *ὑστάτας] μεθ' ἃς οὐκ ἔστιν ἄλλη τιμωρία.*
234. *⟨ἀνέλληνα στόλον⟩] τὸν οὐχ Ἕλληνα κατὰ στολήν.*
236. *⟨χλίοντα⟩] τρυφῶντα.* 10
238. *οὐδὲ κηρύκων ὕπο] μὴ ἐπικηρυκευσάμεναι.*
239. *ἡγητῶν] πρέσβεων.*
241. *ἀφικτόρων] Ἑλληνικῶν ἱκετῶν.*
243a. *συνοίσεται] συμφωνήσει.*
244—245. *⟨καὶ τἄλλα ... σημανῶν⟩] ἔμελλον ἂν στοχασμῶι τὰ καθ'* 15
ὑμᾶς λέγειν, εἰ μὴ φωνὴν εἴχετε.
246. *ἀμφὶ κόσμον] περὶ τοῦ κόσμου ἡμῶν ὅτι βάρβαρος.*
247. *ἐτὴν] νῦν δημότην.*
248. *τηρὸν] φύλακα.*
250. *Παλαίχθονος] Παλαίχθων ὄνομα κύριον.* 20
254. *καὶ πᾶσαν αἴδνης] ἀντὶ καὶ πάσης αἴας.*
255a. *Στρυμών] ποταμὸς ἐγχώριος.*
255b. *⟨Στρυμών ... κρατῶ⟩] τοῦ πρὸς δυσμὰς μέρους Στρυμόνος κρατῶ· Σ τ ρ υ μ ὼ ν δὲ ποταμὸς Θράικης.*
258—259. *⟨συντέμνει ... κρατῶ⟩] ὁ δὲ ὅρος ὁ ἡμέτερος τἀπὶ Δωδώνην* 25
ἔχει ἕως τῆς θαλάσσης. καὶ ἐπέκεινα δὲ τῶνδε κρατῶ.
262. *⟨ἐκ πέρας⟩] τοῦ πέρατος. ἀνεχρόνισε δέ· τῶν γὰρ Ἡρακλειδῶν ναυσὶ διαβάντων εἰς Ἄργος οὕτως ἐκλήθη Ναύπακτος.*
265. *μιάσμασιν] ὡς τῶν πολιτῶν αὐτοκτονησάντων.*
267. *δράκονθ' ὅμιλον] τί ἀνῆκε; δρακόντων πλῆθος.* 30
270. *εὕρετεν] ἀντὶ περιεποιήσατο.*
276. *προσφύσω] ἀντὶ ἀποδείξω.*

sch. 243b Hesych. *σ υ ν ο ί σ ε τ α ι· συμπείσεται, συνελεύσεται, συμβαλεῖται* || 18 sch. Hom. δ 16 || 24 sch. uet. A. Pers. 497 sch. Call. IV 26 || 27—28 Strab. IX 4, 7 Ephor. 70 (FGrH 121) Steph. Byz. 470, 16 Eust. 276, 20

4 *αὐτὸν* **MiMd** *αὐτῶν* **M** || 5 huc trax. Smith ad 225 adscr. **M**

282—283. *Κύπριος χαρακτήρ] καὶ γυναῖκες ἂν Κύπριαι ἀνδράσι μιγεῖσαι τέκοιεν καθ' ὑμᾶς.*
284. *ἱπποβάμοισιν] ἵπποις ἐοικυίαις κατὰ τὸ τάχος.*
285. *καμήλοις ἀστραβιζούσας χθόνα] καμήλοις νωτοφορουμέναις κατὰ*
5 *τὴν χθόνα. ἀστράβη δὲ λέγεται ἡ νωτοφόρος ἡμίονος.*
287—289. *καὶ τὰς ... ὑμᾶς] λείπει εἶναι.*
291. *κληιδοῦχον] ἱέρειαν.*
296. *παλλαγμάτων] αἱ περιπλοκαί.*
298. *πῶς ... τάδε] τὰ νείκη Διὸς καὶ Ἥρας εἰς τί κατέληξαν;*
10 **299.** *⟨βοῦν⟩] τὴν διὰ τὴν ⟨Ἥραν⟩ γενομένην ὑπὸ Διὸς μεταμόρφωσιν τῆς Ἰοῦς τῆι θεῶι προσῆψεν.*
309. *⟨νιν ... δρόμωι⟩] διὰ τί αὐτὴν ἤλασε μακρῶι δρόμωι;*
310. *σ υ γ κ ό λ λ ω ς · συμφώνως.*
318. *⟨τίν' ... ἄλλον⟩] ὁ Εὐριπίδης ε' φησὶ παῖδας εἶναι Βήλου, Αἴγυπ-*
15 *τον, Δαναόν, Φοίνικα, Φινέα, Ἀγήνορα.*
320. *ὄνομα τοῦτο] τοῦ πατρός σου.*
333. *⟨τί φῄς⟩] διὰ τί λέγεις ἐληλυθέναι;*
336. *⟨ἢ τὸ μὴ θέμις⟩] ἢ ὅτι ἀθέμιτος ⟨ὁ⟩ γάμος; ᾤετο γὰρ αὐτὰς ἐκδεδόσθαι ἤδη ἄλλοις ἀνδράσιν.*
20 **337.** *τίς δ' ἂν] κατ' ἔχθραν δηλονότι· τίς γὰρ τοὺς ἄνδρας δεσπότας ὄνοιτο;*
344. *εἴπερ ... ἦν] συνέπρασσον ὑμῖν, εἰ τὴν ἀρχὴν προφάσεως εἶχον.*
346. *κατασκίους] τοῖς θαλλοῖς ἱκετηρίων κλάδων πεπληρωμένας.*
352. *⟨ἀλκᾶι⟩] τῆι τοῦ ὄρους.*
25 **353.** *φράζουσα ... μόχθους] τῶι ἑαυτῆς βοτῆρι σημαίνουσα τοὺς διωγμούς.*
354—355. *ὁρῶ ... θεῶν] ὁρῶ ὅμιλον θεῶν ἐστεμμένων ἱκετηρίαις.*
356. *⟨ἀστοξένων⟩] τῶν νῦν μὲν ξένων, πρώην δὲ συνημμένων τῶι ἄστει.*

5 Ar. Byz. ap. Eust. 1625, 40 Et. Gen. *ἀστράβη* E. M. 159, 53 Lex. Segu. *ἀστράβη* Harpocrat. 62, 18 Suda *ἀστράβη* || **8** cf. Hesych. *ἐμπαλάγματα· αἱ ἐμπλοκαί* || **10—11** Aeschylum ab Hesiodo (fr. 124) discedere notat scholiastes || **14—15** Apollod. Bibl. II 1, 4 Nonn. Dion. III 294 sqq. || **28—29** cf. Bekk. I 456, 5 Poll. III 60

4 *νωτοφορουμένας* Kirchhoff sed scholiastes *ἀστραβίζειν* interpretatus est *ἀστράβην εἶναι* || **10** *διὰ τὴν] δι' αὐτὴν* Chatelain vel Graux | add. Abr. || **12** *διὰ τί* Smith *δὶς* **M** *διὸ* Weil || **14—15** Eur. fr. 881 N. || **18** add. Vürtheim || **21** *ὄνοιτο* Dd. *ὤνοιτο* **M** *ὠνοῖτο* Weil

359. *ἄνατον*] *τὴν μὴ ἐπὶ βλάβηι τινὸς γεγονυῖαν.*
360. *κλαρίου*] *πάντα πᾶσι κληροῦντος καὶ κραίνοντος.*
361. *παρ' ὀψιγόνου*] *παρ' ἐμοῦ τῆς νεωτέρας ὁ γέρων.*
362. *οὗνπερ*] *οὐ πτωχεύσεις.*
363—364. ⟨*ἱεροδόκα ἁγνοῦ*⟩] *οἱ θεοὶ δέχονται τὰ ἀπὸ ἀνδρὸς ἁγνοῦ ἱερά.* 5
365—366a. *οὔτοι ... ἐμῶν*] *οὐ πρὸς τὴν ἑστίαν τῶν ἐμῶν δωμάτων.*
365—366b. ⟨*οὔτοι ... ἐμῶν*⟩] *ἀντὶ τοῦ οὐκ ἰδίαι πρὸς ἐμὲ ποιεῖσθε τὰς ἱκεσίας, ἀλλὰ πρὸς πᾶσαν τὴν πόλιν.*
366. *τὸ κοινὸν ... πόλις*] *εἰ δὲ τὸ κοινὸν μιαίνεται, ὅ ἐστιν ἡ πόλις.*
371. *ἄκριτος*] *ἀνυπεύθυνος.* 10
376. *παλιγκότοις*] *ἐχθροῖς.*
380. *καὶ τύχην ἑλεῖν*] *καὶ τοῦ συμφέροντος ἐπιτυχεῖν.*
381—384. ⟨*τὸν ... ἐννόμου*⟩] *τὸν ξένιον καὶ ἱκέσιον Δία τὸν φύλακα τῶν ἀτυχούντων, οἵτινες τοῖς πέλας προσιζάνοντες οὐ μεταλαμβάνουσι τῆς δίκης, ἀλλ' ὑπερορῶνται.* 15
385—386. *μένει ... οἴκτοις*] *τοῖς θρήνοις τῶν πασχόντων συμμαχεῖ ὁ τοῦ Διὸς χόλος.*
394. ⟨*μῆχαρ*⟩] *τὴν δὲ τοῦ γάμου μηχανὴν ὁριοῦμαι τοῖς ἄστροις· ἀντὶ μηχανήσομαι φεύγειν δι' ὁδοῦ μακρᾶς τὸν γάμον. οἱ γὰρ μακρὰν ὁδὸν φεύγοντες δι' ἄστρων σημαίνεσθαι ἐλέγοντο.* 20
403. ⟨*ἑτερορρεπής*⟩] *αὐτὸς ἐπεξηγήσατο τί ἐστιν ἑ τ ε ρ ο ρ ρ ε π ή ς.*
405. ⟨*τί τῶνδ'*⟩] *εἰ ὁ Ζεὺς τὸ ἴσον φυλάττει, τί ἀπορεῖς συμμαχῆσαι τῶι Διί;*
407—408. ⟨*δεῖ ... ὠνωμένων*⟩] *δεῖ δὴ εἰς βυθὸν μολεῖν φροντίδος βαθείας σωτηρίου δίκην κολυμβητῆρος. τοῦτο δὲ τοῖς σπογγοτόμοις* 25 *συμβαίνει, τὸ πόρρωθεν σκοπεῖν καὶ περιβλέπεσθαι.*
412. ⟨*ῥυσίων*⟩] *ἀντὶ τοῦ ἱκετίδων.*
415. *σημείωσαι.*
421. ⟨*ἐκβολαῖς δυσθέοις*⟩] *διωγμοῖς ἀθέοις.*
427. *κότον*] *τὸν τοῦ Διός.* 30
429. ⟨*βίαι δίκας*⟩] *παρὰ βούλησιν τῆς δίκης.*
431. ⟨*ἱππηδὸν*⟩] *ὡς ἵππον τῆς ἄμπυκος ἑλκομένην.*
432a. *πέπλων ... ἐμῶν*] *τὰς ἐπιλήψεις τῶν πέπλων μου.*

19—20 sch. Soph. O. T. 795 Hesych. *ἄστροις σημειοῦσθαι* cf. Leutsch-Schneidewin ad C. P. G. I 206, 8

2 *πάντα πᾶσι* Weil *παντάπασι* M || **20** *ἐλέγοντο* Weil *ἔλεγον* M || **23** *τῶι δικαίωι* Whittle fort. recte

432b. ⟨*ἐπιλαβὰς*⟩] *ἀπὸ κοινοῦ τὸ μὴ τλαίης ἰδεῖν.*
434. *ἴσθι γὰρ*] *λείπει τὸ ὅτι.*
436. ⟨*ὁμοίαν θέμιν*⟩] *δίκαιόν ἐστιν ἀποδιδόναι ὁμοίαν δίκην· αἴ κε πάθηι τά κ' ἔρεξε, δίκη δ' ἰθεῖα γένοιτο.*
5 **438.** *δεῦρο δ' ἐξοκέλλεται*] *οὕτως ἀποβαίνει.*
439. ⟨*ἢ τοῖσιν ἢ τοῖς*⟩] *ἢ τοῖς θεοῖς ἢ τοῖς Αἰγυπτιάδαις.*
443. *πορθουμένων*] *χρημάτων.*
444. ⟨*ἄτην*⟩] *τοῦ Διὸς ἐμπιπλῶντος καὶ γεμίζοντος ἄτης τὸν γόμον.*
446. ⟨*γλῶσσα*⟩] *ἀντὶ τοῦ γλώσσης τοξευσάσης, ὅ ἐστιν εἰπούσης.*
10 **451.** ⟨*πημονῆς ἄκη*⟩] *τῆς προσδοκωμένης πημονῆς ἄκη.*
452. *παροίχομαι*] *καὶ τοῦτο ποιῶν ἐκτὸς ἔσομαι τοῦ νείκους θεοῖς ὑπηρετῶν.*
454. *γένοιτο*] *μάντις ἀποβαίην φαῦλος.*
457a. *στρόβους ζώνας τε*] *τὰς στροφὰς τῶν ζωνῶν.*
15 **463.** *νέοις πίναξιν*] *καινοῖς ἀναθήμασι τὰ ἀγάλματα τῶν θεῶν κοσμήσω. λέγει δὲ ὅτι μετεωρήσω ἐμαυτὴν τῆι ἀγχόνηι.*
465. *ἀπάγξασθαι θεῶν*] *ἐξηρτῆσθαι τῶν θεῶν.*
466a. ⟨*ἤκουσα*⟩] *ἤκουσα λόγον καρδίας δηκτικόν.*
466b. *μακιστῆρα· ἰόν.*
20 **468a.** *δυσπάλαιστα*] *δυσμεταχείριστα.*
468b. ⟨*πράγματα*⟩] *ἀπὸ κοινοῦ τὸ ἤκουσα.*
473. *οὐχ ὑπερτοξεύσιμον*] *ἀνυπέρβλητον.*
476. ⟨*τἀνάλωμα*⟩] *τὸ πτῶμα τῶν σωμάτων.*
479. *φόβος*] *ὁ τούτου φόβος μέγιστός ἐστιν ἐν βροτοῖς.*
25 **485.** *κατ' ἀρχῆς ... λεώς*] *τοὺς γὰρ ἄρχοντας ἐν ταῖς τοιαύταις περιστάσεσιν· εἴωθεν αἰτιᾶσθαι ὁ λαός.*
489. *τοῖς ἥσσοσιν ... φέρει*] *ὡς καὶ πρὸς τὸν* [*εὖ*] *ἔχονθ' ὁ φθόνος ἕρπει.*
492. ⟨*φράστορας*⟩] *τοὺς φράσοντας.*
30 **496.** *ὁμόστολος φύσις*] *οὐχ ὅμοιοι τοῖς ἐγχωρίοις ἐσμέν, ὥστε λαθεῖν.*

sch. 441 Hesych. *στρέβλαι ναυτικαί· τὰ ξύλα ἐν οἷς διασφηνοῦνται* (corr. Musurus *διασφημοῦνται* cod.) *γομφούμεναι* (corr. Stanley *γομφούμενα* cod.) || **sch. 457b** Hesych. *ζώνας τε συλλαβὰς πέπλων· ἀντὶ τοῦ αἷς ζώννυμι καὶ τοὺς πέπλους συλλαμβάνω* (corr. Musurus *συλλαμβάνειν* cod.)

3—4 Hes. fr. 286, 2 || 8 *ἐμπιπλῶντος* **Mi Md** *ἐμπιμπλῶντος* **M** || 16 *ἐμαυτὴν* **Mc** *ἐμαυτὸν* **M** | *ἀγχόνηι* Rob. *ἀγχονῆι* **M** || 17 *ἐξηρτῆσθαι* Paley *ἐξήρτημαι* **M** || 24 *μέγιστος* Paley *μέγας* **M** || 27 del. Davies post Heath || 27—28 Soph. Ai. 157 || 29 *φράσοντας* Vict. *φράσσοντας* **M**

498. ⟨*θράσος*⟩] *μὴ θαρρήσας μόνος ἀπελθεῖν φοβηθῶ ὑπό τινος.*
501. *βωμοὺς*] *τοὺς κατὰ τὰς ἕδρας τῶν θεῶν.*
502. ⟨*ξυμβόλοισιν*⟩] *τοῖς συντυγχάνουσι.*
505. ⟨*ποῦ θράσος*⟩] *ἀντὶ τοῦ ποῦ παραγενομένης μου τὸ θράσος νέμεις;* 5
509. ⟨*βέβηλον*⟩] *τὸ πᾶσι βατὸν καὶ μὴ ἱερόν.*
510. *πτερωτῶν· δρακόντων.*
528a. ⟨*ἄλευσον*⟩] *καταπόντωσον αὐτῶν τὴν ὕβριν.*
528b. ⟨*εὖ*⟩] *ἀντὶ δικαίως.*
530. *τὰν μελανόζυγαταν*] *τὴν ναῦν ἐν ἧι βλαβήσονται.* 10
532. ⟨*παλαίφατον*⟩] *πολυβόητον.*
534. *νέωσον ... αἶνον*] *ἀνανέωσον τὴν φήμην ὅτι σοῦ ἐσμεν.*
535. ⟨*πολυμνήστωρ*⟩] *πολλὴν μνήμην ἔχων γενοῦ ἐφάπτωρ τῆς Ἰοῦς.*
537. ⟨*γᾶς ἀπὸ τᾶσδ'*⟩] *τῆς δίας Αἰγύπτου, τῆς τοῦ Διὸς ἱερᾶς γῆς.*
538. ⟨*εἰς ἴχνος*⟩] *εἰς Ἄργος.* 15
539. *ἀνθονόμους ἐπωπὰς*] *κατανομάς.*
540. ⟨*βούχιλον*⟩] *ἔνθα ἐχιλοῦτο ἡ βοῦς καὶ ἤσθιεν.*
541. *ἐρεσσομένα*] *ἐλαυνομένη.*
542. *ἁμαρτίνοος*] *ἀντὶ τοῦ μανεῖσα.*
544—545. *ἀντίπορον γαῖαν*] *Ἀσίαν καὶ Εὐρώπην.* 20
545. *ἐν αἴσαι*] *ἐν εἱμαρμένηι.*
546. *πόρον*] *τὸν Βόσπορον.*
548. *λείπει ὁ καί.*
555. *αἶαν*] *Φοινίκην, ἣν ἱερὰν Ἀφροδίτης φασὶ διὰ Βύβλον καὶ Λίβανον.*
556. *ἱκνεῖται*] *ἱκνεῖται δὲ δῖον πάμβοτον ἄλσος τοῦ οἴστρου τῶι κέν-* 25 *τρωι αὐτὴν διατρυπῶντος.*
557. *βουκόλου πτερόεντος*] *τοῦ μύωπος.*
558. *ἄλσος*] *τὴν Αἴγυπτον.*
559. *χιονόβοσκον*] *φασὶ γὰρ λυομένης χιόνος παρὰ Ἰνδοῖς πληροῦσθαι αὐτόν.* 30
561. ⟨*ὕδωρ ... ἄθικτον*⟩] *λέγεται γὰρ ὁ ἀὴρ κουφότερος εἶναι· ἐπεξηγήσατο δὲ τί ἐστι τὸ μένος τοῦ Τυφῶ, εἰπὼν τὸ ὕδωρ τοῦ Νείλου.*

24 cf. Headlam CR 12, 1898, 192 || **29—30** Her. II 52 Wendel ad sch. A. R. IV 269—271a || **31** cf. Diod. I 38, 7

23 huc trax. Weil ad 547 adscr. **M** || **24** *φασὶ* Smith *φησὶ* **M** | *Βύβλον* Vict. *βίβλον* **M**

565. *ἔννομοι*] *οἰκήτορες.*
567. *ὄψιν ἀήθη*] *ὄψιν ἀήθη ὁρῶντες.*
568. *δυσχερὲς*] *τερατῶδες.*
571. ⟨*τίς ἦν*⟩] *ὡς ἐν ἐρωτήσει.*
5 **571—572.** *θέλξας*] *θεραπεύσας.*
576. *σθένει*] *λείπει ὁ καί.*
578—579. *δακρύων ... αἰδῶ*] *ἐννοοῦσα ὃ πέπονθεν.*
580a. ⟨*ἔρμα*⟩] *τὸ βάρος.*
580b. *ἀψευδεῖ λόγωι*] *καθὼς ἡ φήμη βούλεται.*
10 **584.** *γένος*] *τὸ γένος τῆς Ἰοῦς.*
588—589. ⟨*καὶ ... κυρήσαις*⟩] *καὶ τὸ γένος ἡμῶν ἐξ Ἐπάφου λέγων εἶναι τῆς ἀληθείας κυρήσεις καὶ οὐ ψεύσηι.*
592. ⟨*αὐτόχειρ*⟩] *αὐτὸς ὁ πατὴρ φυτουργὸς τοῦ γένους, ὁ τῆι ἑαυτοῦ χειρὶ θεραπεύσας τὴν Ἰώ.*
15 **594.** ⟨*τὸ πᾶν μῆχαρ*⟩] *ἡ πάντων μηχανή.*
595—596. ⟨*ὑπ' ἀρχὰς ... κρατύνει*⟩] *οὐχ ὑπὸ τὰς ἀρχὰς δέ τινος τῶν κρεισσόνων καθήμενος, τὸ μεῖον ἔχων.*
597. *ὅστινος ... κάτω*] *οὐ σέβει κάτω ὢν αὐτός.*
598. ⟨*ἔργον*⟩] *ἅμα τῶι λόγωι ἡ πρᾶξις.*
20 **599.** ⟨*σπεῦσαι*⟩] *εἰς τὸ συντελέσαι.*
603—604. ⟨*πληθύνεται*⟩] *πότερον πλείους οἱ συμμαχοῦντες ἡμῖν ἢ ὀλίγοι.*
607. *δεξιωνύμοις*] *δεξιοῖς.*
608. ⟨*ἔφριξεν*⟩] *πυκνὰς ἔσχε τὰς ἠρμένας αὐτῶι χεῖρας.*
25 **609.** *τὸ ἑξῆς· ἔδοξεν ἡμᾶς μετοικεῖν.*
611. *ἐνοίκων*] *πολιτῶν.*
612. *προστιθῆι τὸ καρτερόν*] *λείπει τὸ τίς· ἀντὶ τοῦ βίαι πολιτῶν.*
616—618. *ἱκεσίου ... παχῦναι*] *εἰς τὸν μετέπειτα χρόνον μήπως αὐξήσηι κότον ὁ Ζεύς.*
30 **618a.** *παχῦναι*] *αὐξήσειν.*
618b. ⟨*ξενικὸν ἀστικόν θ'*⟩] *ὃ εἶπεν ἄνω ἀ σ τ ο ξ έ ν ω ν, τοῦτο διαλελυμένως εἶπεν.*

sch. 614 Steph. Byz. 228, 16 *δ η μ ή λ α τ ο ς· Αἰσχύλος Ἱκετίσιν· ἄ τ ι μ ο ν—δ η μ η λ ά τ ω ι. ὁ ἀπὸ τοῦ δήμου ἐλαθείς*

18 *σέβει* Vict. *σέβη* **M** || 24 *ἠρμένας* Rob. *ἡρμένας* **M** || 28 *αὐξήσηι* **Md** *αὐξήσει* **M** || 30—32 sch. 618a et 618b separ. Weckl. cont. **M**

619. *διπλοῦν*] *διπλοῦν καθὸ καὶ ξένους ὄντας παρορῶμεν καὶ συγγενεῖς δειχθέντας οὐκ ἐλεοῦμεν.*
621. *τοιαῦτ' ἀκούων*] *ταῖς χερσὶν ἐπέκρανεν, πρὶν εἰπεῖν τὸν κήρυκα· ἀράτω τὰς χεῖρας ὅτωι ταῦτα δοκεῖ.*
626. *ποινάς*] *ἀμοιβάς.* 5
629. *τέρμον' ... ἅπαντα*] *βεβαίως εἰς ⟨τὸ⟩ παντελὲς φέρων αὐτάς.*
630. *ὅτε*] *ἀντὶ εἴποτε.*
632. ⟨*χεούσας*⟩] *χεούσης ἐμοῦ εὐκταῖα γένει ἤτοι τοῖς Ἀργείοις.*
633. *πυρέφατον*] *πυρὶ ἀναλωθεῖσαν.*
636a. *κτίσαι*] *ποιῆσαι.* 10
636b. ⟨*μάχλον*⟩] *τὸν εἰς τοὺς πολέμους κατωφερῆ ἢ τὸν παλίμβολον.*
637—638. *τὸν ... ἐν ἄλλοις*] *τὸν ἐν ἄλλοις ἀρότροις θερίζοντα τοὺς βροτούς.*
639. *ὤκτεισαν*] *ἡ πόλις.*
642a. ⟨*ποίμναν*⟩] *τὴν ἡμῶν σύστασιν.* 15
642b. *ἀμέγαρτον*] *ἀφθόνητον διὰ τὸ εὐτελές.*
643. *ἀρσένων*] *τῶν Αἰγυπτιαδῶν.*
646—647. ⟨*Δῖον ... σκοπὸν*⟩] *Διὸς σκοπόν, τὸν Διὸς ὀφθαλμὸν τὸν πάντα σκοποῦντα.*
651. ⟨*ἐφίζει*⟩] *ἐφιζάνει γὰρ βαρὺς καὶ ἐρείπει τὸν οἶκον.* 20
652. ⟨*ἅζονται*⟩] *τοῦτο συναπτέον ⟨τῶι⟩ οὐδὲ μετ' ἀρσένων.*
655. ⟨*ἀρέσονται*⟩] *εἰς ἀρέσκειαν ἄγουσι.*
663—664. ⟨*ἄδρεπτον ἔστω*⟩] *τὸ ἄνθος τῆς ἥβης αὐτῶν μὴ ἐκκοπείη.*
668. *γεμόντων*] *πληρούσθωσαν.*
667—669. ⟨*καὶ γεραροῖσι ... φλεγόντων*⟩] *καὶ διαπρεπέτωσαν τοῖς γέρουσιν αἱ θυμέλαι.* 25
670. ⟨*νέμοιτο*⟩] [*ἢ*] *οἱ γέροντες.*
670—671. ⟨*Ζῆνα ... ὑπέρτατον*⟩] *τῶν γερόντων σεβόντων τὸν Δία τὸν ξένιον ὑπερτάτως.*
673. *ὡς πολιῶι νόμωι*] *ὁ Ζεὺς τῶι ἀρχαίωι νόμωι τὸ ἴσον τηρεῖ.* 30
674. *ἐφόρους*] *βασιλεῖς.*
683. ⟨*βοάν τε δῆμον*⟩] *ἐμφύλιον μάχην, τὴν ἐπὶ τοῖς ἀπολωλόσι βοήν.*

16 cf. Erbse ad sch. Hom. *B* 420b

6 add. Mj || 8 *τοῖς Ἀργείοις* Smith *τῶι γένει* M || 16 *εὐτελές* Kirchhoff *ἀτελές* M cf. test. || 21 add. Kirchhoff || 22 *ἀρέσκειαν* MiMd *ἀρέσκιαν* M || 25—27 sch. 667—669 et 670 separ. Smith cont. M || 27 del. Smith | scholiastes *νέμοιντο* in t. habuit

684—685. ⟨ἀπ' ἀστῶν⟩] ἄποθεν τοῦ κράτους τῶν ἀστῶν.
688—689. καρποτελεῖ ... ἐπικραινέτω] τελεσφορῆσαι ποιείτω.
690 a. φέρματι] κυήματι.
690 b. πανώρωι] κατὰ πᾶσαν ὥραν αὐξομένωι.
691. πρόνομα] πρὸ τῆς πόλεως νεμόμενα.
693. ἐκ δαιμόνων] παρὰ δαιμόνων.
695. ⟨μοῦσαι⟩] αἱ ὠιδαί.
698. ⟨φυλάσσοι ... τιμὰς⟩] ἀμετακίνητοι εἶεν αὐτοῖς αἱ τιμαί.
700. προμηθεὺς] ἡ γὰρ ἀρχὴ ὑπὲρ τῶν κοινῶν προνοουμένη τήν τε πόλιν καὶ τὸ κοινὸν αὔξει.
701. ξένοισί τ'] τοῖς τε ξένοις δίκας εὐσυμβόλους διδοῖεν πρὶν ἐξοπλίζειν Ἄρη.
707. τὸ γὰρ τεκόντων] πρῶτον θεούς, δεύτερον νόμους, τρίτον δὲ τόδε, τὸ τοὺς γονεῖς τιμᾶν. ἐχρῆν δὲ εἰπεῖν· καὶ τοὺς γονεῖς δὲ σέβοιντο. τὸ γὰρ τιμᾶν γονεῖς τρίτον ἐστὶ παράγγελμα δίκης.
713. ἱκεταδόκου] τῆς δεξαμένης ἡμᾶς τοὺς ἱκέτας.
715 a. ⟨στολμοί τε λαίφους⟩] κατὰ περίφρασιν τὸ λαῖφος.
715 b. παραρρύσεις] ἐκτάσεις.
718. οὕτως δὲ ἡμῖν κλύουσα τοῦ οἴακος οὐ φίλη ἐστίν.
719. ἄνδρες νήιοι] ναῦται.
719—720. ἐκ τῶν λευκῶν πεπλωμάτων μέλανα γυῖα φαίνονται ἔχοντες.
728. ⟨ῥυσίων⟩] ἐνεχύρων· ἐνεχυράζοντες ἡμᾶς διά τινος ἁρπαγῆς.
730. βοῆι· νῦν τῆι βοηθείαι.
731. ⟨ἀλκῆς⟩] τῆς τῶν βωμῶν καταφυγῆς.
732—733 a. σημείωσαι.
732—733 b. γνώμη.
735. μῆκος ... χρόνου] τῆς ἡμῶν φυγῆς καὶ τῆς τούτων παρουσίας.
736—738. ὅσον μοι προγέγονεν ὄφελος διὰ τῆς ἐνθάδε φυγῆς, τῶι δείματι νῦν παροίχεται· ἀπιστῶ γὰρ εἰ τεύξομαι ἐπικουρίας.
739. τελεία] τελεσθεῖσα.
746—747. ἐν μεσημβρίαι ... κατερρινημένους] καλῶς ἐν ἡλίωι γεγυμνασμένους.
750. ⟨δουλόφρονες⟩] οἱ Αἰγυπτιάδαι.
751. κόρακες ὥστε] λείπει ἁρπάζουσί με.

1 κρατὸς Paley || 9 ὑπὲρ Weil ὑπὸ **M** || 17 περίφρασιν Vict. παράφρασιν **M** || 30 ἄπιστον?

754. ⟨*ἐχθαιροίατο*⟩] *εἰ ἀσεβήσαιεν εἰς τοὺς βωμούς.*
756. ⟨*χεῖρ'*⟩] *χειρὶ τὸ ἐντελές.*
757 a. ⟨*περίφρονες*⟩] *ἀντὶ ὑπέρφρονες.*
757 b. *ἀνιέρωι*] *ἀσεβεῖ.*
760. ⟨*κρείσσους*⟩] *τοσοῦτον αὐτῶν διαφέρουσιν ὡς λύκοι κυνῶν.*
761. ⟨*βύβλου ... στάχυν*⟩] *ἐπεὶ παπυροφάγοι οἱ Αἰγύπτιοι.*
763. *κράτος*] *τὴν βίαν.*
764. *στολῆι*] *ἀντὶ ὁρμῆι.*
764—765. ⟨*οὔτοι ταχεῖαι ... ὅρμος*⟩] *οὐδὲ ἡ ὁρμὴ ταχεῖα οὐδὲ ἡ ἔκβασις.*
765. *πισμάτων σωτηρίου*] *ἀντὶ πείσματα σωτήρια.*
766. *ἀγκυρουχίαις*] *ταῖς ἀσφαλείαις καὶ κατοχαῖς τῶν ἀγκυρῶν.*
767. *ποιμένες*] *κυβερνῆται.*
772. ⟨*πρὶν ... θρασυνθῆναι*⟩] *πρὶν καταθαρρῆσαι τῶι ὅρμωι τὰς ναῦς.*
774. ⟨*ἄγγελον*⟩] *ἐμὲ τὸν ἀπαγγέλλοντα αὐτοῖς τὴν παρουσίαν τῶν Αἰγυπτιαδῶν.*
776 a. *βουνῖτι*] *ὀρεινή.*
776 b. *ἔνδικον σέβας*] *δικαία σέβεσθαι, ἣ ἣν δικαίως πάντες τιμῶσιν.*
778. *κελαινὸν*] *ἀφανές.*
781—783. ⟨*ἄφαντος*⟩] *μεταβληθείην μὴ εἰς πτηνόν, ἀλλ' εἰς ἄψυχόν τι.*
785. ⟨*μελανόχρως*⟩] *ἀντὶ τεταραγμένη. ἡ μεταφο(ρὰ) ἀπὸ τῆς θαλάσσης ἥτις ἐν τῶι ταράσσεσθαι μελαίνεται.*
786. ⟨*πατροσκοπαι*⟩] *προσκοπήσας ὁ πατὴρ καὶ σημάνας ἐτάραξεν ἡμᾶς.*
787. ⟨*μορσίμου*⟩] *μόρον μοι ἐπάγοντος.*
798—799. ⟨*δαΐκτορος*⟩] *τοῦ γάμου δαϊκτῆρος τῆς καρδίας μου.*
802. ⟨*ἐλευθεροῦται*⟩] *ἀντὶ ἐλευθεροῖ.*
805. *τυχών· ἐμοῦ δηλονότι.*
806. *ἀμφ' αὐτᾶς*] *περὶ ἐμαυτῆς.*
807 a. *τέμνω*] *εὕρω.*
807 b. *λυτήρια*] *λείπει* ⟨*ὁ καί*⟩.

sch. 782 Phot. Reitz. 47, 12 *αιδνόν· τὸ ἀφανιστικόν. οὕτως Αἰσχύλος* cf. Hesych. *αἰδνόν* ‖ **sch. 793** Hesych. *ὑδρηλά· ὑδατώδη* ‖ **sch. 794** Paus. att. fr. *α* 38 *αἰγίλιψ· ἀπρόσβατος, ψιλή, ἀβόσκητος* cf. Et. Gen. E. M. 27, 43 Eust. 733, 35 1041, 60

9 *οὐδὲ ... οὐδὲ* Vict. *οὐδὲ ... οὔτε* **M** ‖ **11** *πείσματα* **Md** *πίσματα* **M** ‖ **20** *μεταβληθείην* **Mi** *μεταβληθείη* **M** ‖ **22** *μελαίνεται* M^{pc} *μαιλαίνεται* M^{ac} ‖ **30—31** sch. 807 a et 807 b separ. Smith inu. ord. cont. **M** ‖ **31** add. Hdl.

808—809. *ἐπεξηγήσατο ὀμφάν· ἑαυταῖς δὲ παρακελεύονται.*
809. *λίτανα] λιτανευτικά.*
809—811. *καὶ τέλεα δέ μοι ... λύσιμα] καὶ ἐπιτελεστικά μοι καὶ λύσιμα τῶν κακῶν γινόμενα.*
5 **811.** *⟨μάχιμα⟩] ἀντὶ ἀτάραχα.*
816. *⟨γαιάοχε παγκρατὲς Ζεῦ⟩] ὦ πάσης γῆς κρατῶν Ζεῦ.*
819. *διόμενοι] διώκοντες.*
820a. *μάταισι] ταῖς ζητήσεσιν.*
822. *⟨ἐπίπαν⟩] ἴσον ἐπὶ πάντων.*
10 **825.** *⟨ὂ ὂ ὂ ἆ ἆ ἅ⟩] ταῦτα μετά τινος πάθους ἀναβοῶσιν ἐξ ἀπόπτου τοὺς Αἰγυπτιάδας ἰδοῦσαι.*
826a. *μάρπις] ὁ ἐλθὼν ἐπὶ τὸ μάρψαι ἡμᾶς.*
826c. *νάιος γάιος] ὁ πρώην μὲν ἐπὶ νηός, νῦν δὲ ἐπὶ γῆς γεγονώς.*
827a. *τῶν πρό, μάρπτι, κάμνοις· πρότερον θάνοις, ὦ μάρπτι,*
15 *πρὶν ἡμᾶς συλλαβεῖν.*
827b. *τῶν πρόμαρπτι κάμνοις] τοῦτο διὰ μέσου.*
827c. *ἰόφ· ἔστι ἀποπτυσμοῦ μίμημα· ἀπὸ δὲ τοῦ ἀποπτύειν ἐπίφθεγμα ἐποίησεν. διὸ δεῖ τὴν ὑστέραν δασύνειν.*
828. *⟨κάκκας⟩] καταβάσεις.*
20 **829—830.** *οὐκέτι παρὰ τοῦ πατρὸς ἀκούσασα, ἀλλ' αὐτόπτης γενομένη βοῶ.*
832—833. *πρὸς ἀλκάν] πρὸς τὴν τῶν θεῶν ἀλκήν, τὴν ἐπὶ τῆι δόξηι ἐπηρμένην ἀλκὴν τῶν θεῶν.*
835a. *γᾶι ἄναξ προτάσσου] ὦ Πελασγέ, πρὸ ἡμῶν παράταξαι.*
25 **835b.** *γᾶι ἄναξ προτάσσου] ἔστι δὲ παρὰ τὸ κύδεϊ γαίων.*
837. *⟨ὅπως ποδῶν⟩] ὡς ἔχετε τάχους ποδῶν.*
838. *οὐκοῦν] ἰδίως τοῦτο ἀντὶ εἰ δὲ μή.*
847. *⟨αἵμονες⟩] ἡιμαγμένην σε καθίζω.*
848. *τάπιτα] ἀπιόντα κατὰ συγκοπήν.*
30 **850a.** *ἴχαρ] ἐπιθυμία.*

sch. 820b Hesych. *μάταισι· ταῖς ματαιότησιν* || **sch. 826b** Hesych. *μάρπτις* (corr. Alberti *μάρπτυς* cod.)· *ὑβριστής* || **sch. 836** Hesych. *σοῦσθε· ἴτε, ὁρμᾶτε,* sed haec gl. fort. respicit ad Call. hymn. V 4

14 *πρό, μάρπτι* Vict. *πρόμαρπτι* **M** || 17 *ἔστι* C. G. Haupt *ἐπὶ* **M** | *μίμημα* **Md**pc *μίσημα* **M** | *ἐπίφθεγμα* Weil *ἀπόφθεγμα* **M** || 19 *καταβάσεις* Vict. *κατακάσεις* **M** || 22—24 sch. 832—833 et 835a separ. Kirchhoff cont. **M** || 25 Hom. *A* 405 et passim || 26 *τάχους* **Md** *τάχος* **M** || 28 *ἡιμαγμένην* C. G. Haupt *ἡιμαγμένον* **M**

850b. ⟨ἶχαρ⟩] τὴν ἐπιθυμίαν ἶχαρ εἶπεν.
850c. ⟨φρενί τ' ἄταν⟩] τὴν ἄτην τῆς φρενός.
852. ⟨λείφ' ἵδρανα⟩] κατάλειπε τοὺς βωμούς.
853. ⟨ἀτιετανα⟩] μήποτε μετέχων τῆς τιμῆς ἐν τῆι πόλει τῶν εὐσεβῶν. 5
855. ἀλφεσίβοιον ὕδωρ] τὸ ζωοποιοῦν τὰ θρέμματα, ἢ ⟨τὸ⟩ ἔντιμον μεταφορικῶς. λέγει δὲ τοῦ Νείλου.
857. ζώφυτον] ἀρρενογόνον γὰρ τὸ ὕδωρ τοῦ Νείλου· ὅθεν Ζεὺς πιὼν ἔτεκεν Ἄρεα.
859—860. ἄγειος ἐγὼ βαθυχαῖος] ἐγὼ ἡ βαθυχαῖος ἀναξία ταύτης τῆς βαθρείας, ὦ γέρον. 10
859. βαθυχαῖος· ἡ μεγάλως εὐγενής· χαοὶ γὰρ οἱ εὐγενεῖς.
861—864. σὺ δὲ ναΐ] σὺ δὲ θέλων καὶ μὴ θέλων ναῒ βήσηι τάχα, βίαι πολλῆι κακοπαθῶν.
863. βίαι ... πολλᾶι] λείπει †πεπειραμέναι†. 15
866. αἰαῖ αἰαῖ] τοῦτο ἰδίαι εὐκτικῶς· ὄλοιο οὖν σὺν ταῖς σαῖς μηχαναῖς.
868. ⟨ἄλσος⟩] τὸ πέλαγος.
869—870. κατὰ Σαρπηδόνιον χῶμα] κατὰ τὴν Σαρπηδονίαν ἄκραν.
872. ⟨ἴυζε καὶ λάκαζε⟩] μάτην λήκει καὶ βόα.
873. οὐχ ὑπερθορῆι] οὐκ ἐκφύγοις. 20
875. ⟨πικρότερ'⟩] καὶ αὐτῶν τῶν ἀχέων πικρότερα ἴυζε.
877. λυμασις ὑπρογασυλασκοι] εἷς ὑπὲρ τῶν Αἰγυπτίων πρεσβεύει.
879. ⟨Νεῖλος ... σ'⟩] ὁ Νεῖλός σε.
882b. ἀντίστροφον] τὴν ἐξ ἀμφοτέρων τῶν μερῶν ἑλισσομένην, ὅ ἐστιν ἀμφιέλισσαν. 25
885—886. βροτιοσα ροσαται] ἡ τῶν βρετέων ἐπικουρία βλάπτει με· τοῦτο δέ φασιν, ἐπεὶ θαρσοῦσαι αὐτοῖς ἐν τῶι φανερῶι κατελήφθησαν.
888. ὄναρ μέλαν] τουτέστι μηδέν με οὖσαν.
890. μᾶ γᾶ] ὦ μῆτερ γῆ. 30

8—9 cf. Arist. hist. anim. VII 4 Strab. XV 1, 22 Aelian. hist. anim. III 33 Plin. N. H. VII 3. fabula de Iove et Marte alibi non inuenitur || **12** cf. Wendel ad sch. Theocr. VII 5 || **sch. 882a** Et. Gud. βᾶρις· τὸ πλοῖον. Αἰσχύλος· βαίνειν—ἀμφίστροφον || **sch. 885** Hesych. ἄρος· ὄφελος Eust. 1422, 19

1—2 sch. 850b et 850c separ. Smith cont. **M** || **6** add. **Md** || **12** χαοὶ Rob. χάοι **M** || **15** πεπειραμένη? || **19** λήκει καὶ βόα Vict. ληκεῖ καὶ βοᾶ **M** || **21** ἀχέων **M**pc ἀχαιῶν **M**ac || **22** πρεσβεύει **Md** πρεσσβεύοι **M** || **27** αὐτοῖς Vict. αὐταῖς **M**

892. *ὦ βᾶ γᾶς παῖ Ζεῦ*] *ὦ πάτερ Ζεῦ, γῆς παῖ· ἡ αὐτὴ γάρ ⟨ἐστι⟩ Ῥέα καὶ Γῆ.*
894. ⟨*ἐγήρασαν*⟩] *εἰς γῆράς με ἤγαγον.*
895. ⟨*μαιμᾶι*⟩] *ἐνθουσιᾶι.*
5 **900.** *μᾶ γᾶ*] *ὦ μῆτερ γῆ.*
904. ⟨*χιτῶνος ἔργον*⟩] *τὴν ἐργασίαν τοῦ χιτῶνος.*
915. ⟨*ὤρθωσα*⟩] *εἰς ὀρθὴν ἦλθες.*
934—936. ⟨*οὔτοι ... ἔλυσεν*⟩] *οὐ δεήσει μαρτύρων ἡμῖν. ὁ γὰρ Ἄρης κρίνει τὸ νεῖκος. οὐδὲ γὰρ ἄργυρον παρ' ὑμῶν λαμβάνοντες εἰρηνεύ-*
10 *σαιμεν ἄν.*
946. ⟨*ταῦτ'*⟩] *οὐκ ἐγγράφως ταῦτα εἶπον, ἀλλὰ ζώσηι φωνῆι.*
953. ⟨*ἐκ κριθῶν μέθυ*⟩] *πρὸ γὰρ τῆς εὑρέσεως τοῦ οἴνου τοῦτο ἐξεῦρον Αἰγύπτιοι. λέγεται δὲ μεθύσκειν.*
960. ⟨*πολλῶν*⟩] *ὡς πολλῶν ξένων ἐκεῖ οἰκούντων.*
15 **965.** ⟨*τῶνδε*⟩] *ἐμοῦ καὶ τῶν ἀστῶν.*
967. ⟨*δῖε*⟩] *ὡς δῖα γυναικῶν.*
969. ⟨*πρόνοον*⟩] *τὸν πρόνοιαν ἡμῶν ποιούμενον.*
972—973. ⟨*πᾶς τις ... εὔτυκτος*⟩] *ἐπεὶ πᾶς ἄνθρωπός ἐστιν ἕτοιμος εἰς τὸ ψέγειν τοὺς ξένους.*
20 **991.** *σωφρονεῖτε ὅπως ὁ τῶν Αἰγυπτιαδῶν ὅμιλος καταγνωσθῆι ὑπὸ τῶν Ἀργείων καὶ μὴ ἡμεῖς.*
995. ⟨*εὐπετὲς*⟩] *τὸ εἰπεῖν μυσαρόν τι κατὰ τῶν ξένων εὐχερές ἐστιν.*
997. ⟨*ἐπίστρεπτον*⟩] *τὴν ἐπιστροφῆς δεομένην ἢ τὴν ἐπιστρέφουσαν εἰς θέαν.*
25 **998—999.** *πάντα ἐπιθυμίαι δουλεύουσι.*
1006. ⟨*μὴ πάθωμεν*⟩] *μὴ ὑποπέσητε ἀνδράσιν.*
1028. *πολύτεκνοι*] *πολυτεκνίας πρόξενοι.*
1034. *θεσμὸς ὅδ'*] *ὁ τοῦ ἡμετέρου ὕμνου νόμος.*
1038. *μετάκοινοι*] *κοινωνοί.*
30 **1041—1042.** ⟨*δέδοται ... ψεδνρὰ*⟩] *ἡ ἁρμονία μετέχει τῆς Ἀφροδίτης· ψευδὴς δὲ ὅτι πολλὰ ψεύδονται οἱ ἐρῶντες.*

1—2 sch. Soph. Phil. 392 sch. A. R. I 1141—1148b || **4** Hesych. *μαιμᾶι· ἐνθουσιᾶι* || **12—13** Hecat. ap. Athen. X 447c, 418e Dio ap. Athen. I 34b Her. II 77 Diod. I 20, 4. 34, 10 Theophr. caus. plant. VI 11, 2 || **sch. 1027** Hesych. *θέλεμον· ἥσυχον* Phot.

1 add. Smith || **16** Hom. σ 208 || **20** *καταγνωσθῆι* **Md** *καταγνωσθείη* **M** || **22** *εὐχερές* Vict. *εὐχερῶς* **M** || **28** *ἡμετέρου* **Md** *ὑμετέρου* **M**

1045—1046. ⟨τί ποτ'⟩] δέδοικα, ὅτι εὐπλοίας ἔτυχον, μὴ καὶ [τὸ] τοῦ γάμου τύχωσιν.
1050—1051. ⟨μετὰ … γυναικῶν⟩] μετὰ ἄλλων πολλῶν γάμων γυναικῶν καὶ οὗτος τελεσθήσεται.
1061. ἀγάζειν] λίαν ἐξετάζειν.
1070. ⟨τὸ δίμοιρον αἰνῶ⟩] ἡδέως ἔχω τὸ δίμοιρον τῶν κακῶν σὺν ἑνὶ ἀγαθῶι, ὅ ἐστι τῆι ἀπαλλαγῆι τοῦ γάμου. Πίνδαρος· ἓν παρ' ἐσθλὸν σύνδυο δαίονται πήματα βροτοῖς ἀθάνατοι.

1 del. Vict. || 7—8 Pind. Pyth. III 81

SCHOLIA PROTO-TRICLINIANA
IN AGAMEMNONEM

1. + *ἡ εἴσθεσις τοῦ παρόντος δράματος ἐκ μονοστροφικῆς ἐστι περιόδου. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι λη΄ ὧν*
5 *τελευταῖος· μαθοῦσιν αὐδῶ κοὐ μαθοῦσι λήθομαι. μετὰ δὲ τὸν κδ΄ κῶλον ἰαμβικὸν δίμετρον ἀκατάληκτον.*
39. *στίχοι λη΄.*
40. + *δέκατον μὲν ἔτος· ὁ παρὼν χορὸς συνέστηκεν ἐκ κώλων σλβ΄ ὧν τὰ μὲν ξδ΄ ἀναπαιστικὰ δίμετρα ἀκατάληκτα καὶ καταληκτικά,*
10 *ἤτοι ἑφθημιμερῆ καὶ μονόμετρα. ἑξῆς δὲ μεταβὰς εἰς ἑτέραν ὑπόθεσιν καὶ τὸ μέτρον ἐνήλλαξεν. καί εἰσι τὰ ἑξῆς κῶλα ἀναπαιστικὰ πενθημιμερῆ καὶ ἑφθημιμερῆ καὶ δίμετρα ἀκατάληκτά τινα καὶ μονόμετρα ξδ΄. ἑξῆς δὲ εἰς ἑτέραν ὑπόθεσιν μεταβὰς καὶ ἑτέρωι μέτρωι ἐχρήσατο. καί εἰσι τὰ ἑξῆς κῶλα χοριαμβικὰ δίμετρα καταληκτικά,*
15 *ἤτοι ἑφθημιμερῆ καὶ ἀκατάληκτα καὶ ἡμιόλια καὶ πενθημιμερῆ καὶ τρίμετρα βραχυκατάληκτα καὶ καταληκτικὰ ρδ΄ ὧν τελευταῖον· γαίας μονόφρουρον ἕρκος.*
41. *μονόμετρον.*
46. *μονόμετρον.*
20 **51.** *μονόμετρον.*
53. *μονόμετρον.*
120. *ἰαμβικὸν δίμετρον.*
138. *δίμετρον ἰαμβικόν.*
258. + *εἴσθεσις διπλῆς ἀμοιβαίας συνεχοῦς καὶ μονοστροφικῆς. οἱ*
25 *δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ϛζ΄, ὧν τελευταῖος· χάρις γὰρ οὐκ ἄτιμος εἴργασται πόνων.*
315. *τοιοῦτον*] *κοινή.*

Codices **GF**

3 *παρόντος* om. G | *ἐστι* om. G || **4—6** *ὧν … ἀκατάληκτον* om. G || **5** u. 39 || **7** om. G || **10** post *μονόμετρα* habet *ὁμοίως δὲ καὶ ἑτέρως τοσαῦτα. τὰ δὲ λοιπὰ χοριαμβικά* G || **10—17** *ἑξῆς … ἕρκος* om. G || **13** post *ξδ΄* habet F *μέτρωι ἐχρήσατο διμέτρωι* sed ab ipso scriba deleta || **16—17** u. 257 || **18** om. G || **19** uu. 46—1094 desunt in G || **26** u. 354

355. + *ὦ Ζεῦ βασιλεῦ· ὁ παρὼν χορὸς συνέστηκεν ἐκ κώλων ρλς', ὧν τὰ πρῶτα ιβ' ἀναπαιστικὰ δίμετρα ἀκατάληκτα καὶ καταληκτικά, ἤτοι ἐφθημιμερῆ καὶ μονόμετρα. τὰ δὲ ἑξῆς ρκα' χοριαμβικὰ δίμετρα ἀκατάληκτα καὶ καταληκτικά, ἤτοι ἐφθημιμερῆ καὶ πενθημιμερῆ καὶ ἡμιόλια καὶ τρίμετρα βραχυκατάληκτα καὶ καταληκτικά, ὧν τελευταῖον· γυναικογήρυτον ὄλλυται κλέος.* 5

375. *πνεόντων*] *συνίζησις.*

376. *φλεόντων*] *συνίζησις.*

489. + *εἴσθεσις διπλῆς μονοστροφικῆς καὶ συνεχοῦς. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ρϛβ', ὧν τελευταῖος· τοσαῦτ' ἀκούσας ἴσθι τἀληθῆ κλύειν.* 10

593. *τοιοῦτος*] *κοινή.*

681. + *ὁ παρὼν χορὸς συνέστηκεν ἐκ κώλων ρκζ', ὧν τὰ μὲν ρ' εἰσὶ χοριαμβικὰ δίμετρα ἀκατάληκτα καὶ καταληκτικά, ἤτοι ἐφθημιμερῆ ⟨καὶ⟩ πενθημιμερῆ καὶ ἡμιόλια καὶ τρίμετρα βραχυκατάληκτα καὶ καταληκτικά. ἑξῆς δὲ μεταβὰς εἰς ἑτέραν ὑπόθεσιν καὶ τὸ μέτρον ἐνήλλαξε. καί εἰσι τὰ ἑξῆς κῶλα ἀναπαιστικὰ δίμετρα ἀκατάληκτα καὶ καταληκτικά, ἤτοι ἐφθημιμερῆ καὶ μονόμετρα κζ', ὧν τελευταῖον· πόλιν οἰκουροῦντα πολιτῶν.* 15

781. *κῶλα ρ'.* 20

782. + *ἀναπαιστικὰ κῶλα κζ'.*

810. + *εἴσθεσις διπλῆς μονοστροφικῆς τε καὶ συνεχοῦς. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ρξε', ὧν τελευταῖος· μέλοι δέ σοι τοι τῶνπερ ἂν μέλλῃς τελεῖν.*

975. + *ὁ παρὼν χορὸς συνίσταται ἐκ κώλων χοριαμβικῶν ξ', ὧν τὰ μέν ἐστι δίμετρα ἀκατάληκτα, τὰ δὲ καταληκτικά, ἤτοι ἐφθημιμερῆ, τὰ δὲ πενθημιμερῆ καὶ ἡμιόλια καὶ τρίμετρα βραχυκατάληκτα, ὧν τελευταῖον· ζωπυρουμένας φρενός.* 25

1035. + *εἴσθεσις διπλῆς. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι λζ', ὧν τελευταῖος· ἑκοῦσ' ἀνάγκῃ τῇδε καίνισον ζυγόν.* 30

1071. *στίχοι λζ'.*

1072. + *ὀτοτοτοῖ· εἴσθεσις διπλῆς ἀμοιβαίας τὰς περιόδους ⟨μονοστροφικὰς⟩ καὶ συνεχεῖς ἔχουσα. εἰσὶ δὲ οἱ μὲν τοῦ χοροῦ στίχοι*

3 *ρκα'* Smith *ρκδ'* F || 6 u. 488 | *ὄλλυται* t. *ὄλυται* F || 10—11 u. 680 || 15 add. Smith || 19 u. 809 || 22 *τε καὶ* F[pc] *περιόδον* F[ac] || 23—24 u. 974 || 28 u. 1034 || 30—31 u. 1071 || 33 add. Vict. || 34 *συνεχεῖς* F[pc] *συνεχοῦς* F[ac]

ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι, τὰ δὲ τοῦ ἑτέρου προσώπου κῶλα ἀντισπαστικά. ἔοικε δὲ ταῦτα στροφῆι καὶ ἀντιστροφῆι, καί εἰσι τῆς μὲν στροφῆς κῶλα β', ὧν τὸ α' ἡμιόλιον, τὸ δὲ β' πενθημιμερές. ὁμοίως καὶ τῆς ἀντιστροφῆς· τὰ αὐτὰ γάρ εἰσι κῶλα. ἔχουσι δὲ καὶ τοὺς πόδας 5 *πεντασυλλάβους.*

1074—1075. *ἴαμβοι β'.*

1075. *τοιοῦτος] κοινή.*

1078—1079. *ἴαμβοι β'.*

1080. + *ἑτέρα στροφὴ ἔχουσα κῶλα γ', ὧν τὸ α' πενθημιμερές, τὸ* 10 *β' δίμετρον ἀκατάληκτον, τὸ δὲ γ' ἰαμβικὸς στίχος τρίμετρος ἀκατάληκτος.*

1083—1084. *ἴαμβοι β'.*

1085. + *ἀντιστροφὴ ἔχουσα κῶλα γ' ὅμοια τοῖς τῆς στροφῆς.*

1088—1089. *ἴαμβοι β'.*

15 **1090.** + *ἑτέρα στροφὴ ἔχουσα κῶλα γ', ὧν τὸ α' ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον, τὸ β' δίμετρον ἀκατάληκτον· ἔχουσι δὲ πεντασυλλάβους πόδας. τὸ δὲ γ' ἰαμβικὸς τρίμετρος ἀκατάληκτος.*

1093—1094. *ἴαμβοι β'.*

1095. + *ἀντιστροφὴ ἑτέρα ἔχουσα κῶλα γ' ὅμοια τοῖς τῆς στροφῆς.*

20 **1098—1099.** *ἴαμβοι β'.*

1100. + *ἑτέρα στροφὴ ἔχουσα κῶλα ε', ὧν τὸ πρῶτον ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον, τὸ β' δίμετρον καταληκτικόν, ἤτοι ἑφθημιμερές, τὸ γ' ἰαμβικὸς τρίμετρος ἀκατάληκτος, τὸ δ' ἀντισπαστικὸν τρίμετρον καταληκτικόν, τὸ δὲ ε' πενθημιμερές. ἔχουσι δὲ τοὺς πόδας* 25 *πεντασυλλάβους.*

1105—1106. *ἴαμβοι β'.*

1107. + *ἑτέρα ἀντιστροφὴ ἔχουσα κῶλα ε' ὅμοια τοῖς τῆς στροφῆς.*

1112—1113. *ἴαμβοι β'.*

1114. + *ἐντεῦθεν ἑτέρως ἐσχημάτισε τὸ μέτρον καὶ προέθηκε τῆς* 30 *στροφῆς κῶλόν τι τὸ ἒ ἔ. τὰ δὲ ἑξῆς κῶλά εἰσι ε', ὧν τὸ α' ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον, τὸ β' δίμετρον καταληκτικόν, ἤτοι ἑφθημιμερές, τὸ γ' ἰαμβικὸν τρίμετρον, τὸ δ' ὅμοιον τῶι α', τὸ δὲ ε' τρίμετρον καταληκτικὸν ἀντισπαστικὸν καὶ αὐτό. ἔχουσι δὲ καὶ πεντασυλλάβους πόδας.*

35 **1119.** + *ἡ στροφὴ αὕτη τοῦ χοροῦ κώλων ἐστὶν ϛ', ὧν οἱ πρῶτοι β' ἰαμβικοὶ τρίμετροι, τὸ γ' καὶ δ' ἀντισπαστικὸν τρίμετρον καταληκτι-*

21 *πρῶτον* **GF**[pc] *πρότερον* **F**[ac]

κόν, τὸ ε' δίμετρον ὑπερκατάληκτον, τὸ δὲ ς' ἐφθημιμερές. ἔχουσι δὲ καὶ πεντασυλλάβους πόδας.
1125. + *ἀντιστροφή ἐστιν αὕτη τῆς ῥηθείσης στροφῆς καὶ ἔχει κῶλα ἰσόμετρα ἐκείνηι ε'.*
1130. + *τῆς τοῦ χοροῦ στροφῆς αὕτη ἐστὶν ἀντιστροφὴ ἔχουσα κῶλα ὅμοια ς'.* 5
1136. + *στροφὴ ἑτέρα κώλων ε', ὧν τὸ α' μονόμετρον, τὸ β' δίμετρον ὑπερκατάληκτον ἀντισπαστικόν, τὸ γ' τρίμετρον καταληκτικὸν ὅμοιον, τὸ δ' ἰαμβικὸν τρίμετρον, τὸ ε' ὅμοιον τῶι γ'.*
1140. + *ἑτέρα στροφὴ τοῦ χοροῦ κώλων ς' ἀντισπαστικῶν, ὧν τὸ α'* 10 *τρίμετρον βραχυκατάληκτον, τὸ β' πενθημιμερές, τὸ γ' δίμετρον ἀκατάληκτον, τὸ δ' τρίμετρον καταληκτικόν, τὸ ε' ὅμοιον τῶι α', τὸ ς' ὅμοιον τῶι β'.*
1146. + *ἀντιστροφὴ τῆς ἄνω στροφῆς κώλων ὁμοίων ε'.*
1150. + *ἀντιστροφὴ ἑτέρα τῆς τοῦ χοροῦ στροφῆς κώλων ὁμοίων ς'.* 15
1156. + *ἑτέρα στροφὴ κώλων ς' ἀντισπαστικῶν, ὧν τὸ α' καὶ β' τρίμετρον ἀκατάληκτον, τὸ γ' τρίμετρον βραχυκατάληκτον, τὸ δ' πενθημιμερές, τὸ ε' καὶ ς' ὅμοια τῶι α'.*
1162. + *ἑτέρα στροφὴ τοῦ χοροῦ κώλων ε' ἀντισπαστικῶν, ὧν τὸ α' δίμετρον ὑπερκατάληκτον, τὸ β' ἐφθημιμερές, τὸ γ' τρίμετρον κατα-* 20 *ληκτικόν, τὸ δ' ὅμοιον, τὸ ε' πενθημιμερές.*
1165. *θρεομένας*] *συνίζησις.*
1167. + *ἀντιστροφὴ τῆς ἄνω στροφῆς κώλων ὁμοίων ς'.*
1173. + *ἀντιστροφὴ τοῦ χοροῦ κώλων ὁμοίων ε'.*
1178. + *εἴσθεσις διπλῆς μονοστροφικῆς καὶ συνεχοῦς. οἱ δὲ στίχοι* 25 *εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ρμθ', ὧν τελευταῖος· κ α ὶ τ α ῦ τ' ἐ κ ε ί ν ω ν μ ᾶ λ λ ο ν ο ἰ κ τ ε ί ρ ω π ο λ ύ. μετὰ δὲ τὸν λς' κῶλον ἰαμβικὸν δίμετρον ἀκατάληκτον, μετὰ δὲ τὸν ρκζ' κῶλον ὅμοιον μονόμετρον βραχυκατάληκτον, μετὰ δὲ τὸν ρλδ' κῶλον ὅμοιον μονόμετρον ἀκατάληκτον.* 30
1256. *οἷον*] *κοινή.*
1330. *στίχοι ρμθ'.*
1331. + *εἴσθεσις χοροῦ ἐπωιδικὴ διὰ τὸ μετὰ τὴν διπλῆν κεῖσθαι. τὰ δὲ κῶλά εἰσιν ἀναπαιστικὰ ιβ' ὧν τὸ ς' μονόμετρον, τὰ δὲ λοιπὰ δίμετρα ἀκατάληκτα καὶ καταληκτικά, ἤτοι ἐφθημιμερῆ.* 35

1 *τὸ δὲ ε'* G || 22 om. G || 26—27 u. 1330 || 27 *λγ'* G || 32 om. G

1342. *κῶλα ιβ'.*

1343. + *εἴσθεσις διπλῆς ἀμοιβαίας καὶ μονοστροφικῆς. οἱ δὲ στίχοι εἰσὶν ξδ', ὧν ὁ β' καὶ δ' καὶ ε' τροχαϊκοὶ τετράμετροι καταληκτικοί. οἱ δὲ λοιποὶ ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι, ὧν τελευταῖος· ἔργον* 5 *δικαίας τέκτονος τάδ' ὧδ' ἔχει.*

1352. *τοιούτου] κοινή.*

1360. *τοιοῦτος] κοινή.*

1406. *στίχοι ξδ'.*

1407. + *στροφὴ χοροῦ ἐκ κώλων ἀντισπαστικῶν ε', ὧν τὸ α' δίμε-* 10 *τρον ὑπερκατάληκτον, τὸ β' τρίμετρον βραχυκατάληκτον, τὸ γ' τρίμετρον καταληκτικόν, τὸ δ' ὅμοιον, τὸ ε' ὅμοιον.*

1412. + *ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι στίχοι ιδ'.*

1425. *στίχοι ιδ'.*

1426. + *ἀντιστροφὴ ἔχουσα κῶλα ε' ὅμοια τοῖς τῆς στροφῆς ἀντι-* 15 *σπαστικοῖς.*

1431. + *ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι στίχοι ιζ'.*

1447. *στίχοι ιζ'.*

1448. + *εἴσθεσις διπλῆς μονοστρόφους ἔχουσα τὰς περιόδους· οὐ γὰρ ἔχει ἀντιστροφάς. καί εἰσι τοῦ μὲν χοροῦ τὰ κῶλα χοριαμβικά,* 20 *τοῦ δὲ ἑτέρου προσώπου ἀναπαιστικά. εἰσὶ δὲ τῆς παρούσης στροφῆς κῶλα χοριαμβικὰ ιδ' δίμετρα καὶ τρίμετρα καταληκτικὰ καὶ βραχυκατάληκτα καὶ ἀκατάληκτα. μετὰ δὲ τὸ ζ' κῶλον κώλου τμῆμα τὸ ἰώ.*

1461. *κῶλα ιδ'.*

1462. + *ἀναπαιστικὰ κῶλα ς', ὧν τὸ β' μὲν μονόμετρον, τὰ δὲ λοιπὰ* 25 *δίμετρα ἀκατάληκτα, τὸ δὲ ς' ἐφθημιμερές.*

1463. *μονόμετρον.*

1468. + *στροφὴ ἑτέρα κώλων χοριαμβικῶν δ'. εἰσὶ δὲ τὰ μὲν δίμετρα, τὰ δὲ τρίμετρα καταληκτικὰ καὶ βραχυκατάληκτα καὶ ἀκατάληκτα.*

1475. + *ἀναπαιστικὰ ὅμοια τοῖς προρρηθεῖσιν ἕξ.*

30 **1481.** + *ἑτέρα στροφὴ κώλων χοριαμβικῶν ιε'. εἰσὶ δὲ τὰ μὲν δίμετρα, τὰ δὲ τρίμετρα καταληκτικὰ καὶ βραχυκατάληκτα καὶ ἀκατάληκτα, τὰ δὲ ἡμιόλια. μετὰ δὲ τὸ η' καὶ τὸ ιβ' κώλων τμήματα.*

1497. + *ἀναπαιστικὰ κῶλα η' ὧν τὸ β' καὶ τὸ ζ' μονόμετρα, τὰ δὲ λοιπὰ δίμετρα ἀκατάληκτα, τὸ δὲ η' ἐφθημιμερές.*

1 om. G ‖ 2 *μονοστροφικῆς* GF^{pc} *μονοστροφικῆς περιόδου* F^{ac} ‖ 4—5 u. 1406 ‖ 6 om. G ‖ 7 om. G ‖ 8 om. G ‖ 13 om. G ‖ 17 om. G ‖ 18 *μονοστρόφους* Vict. *μονοστρόφως* GF ‖ 20 *τὰ δὲ ἕτερα πρόσωπα* G ‖ 22 *καὶ ἀκατάληκτα* om. G | *τὸ ζ' τμῆμα* G^{ac} ‖ 23 om. G ‖ 26 om. G ‖ 32 *τὸν η' καὶ ιβ'* F

1505. + *στροφὴ ἑτέρα κώλων ὁμοίων τοῖς ῥηθεῖσιν χοριαμβικῶν η'.*
1513. + *ἀναπαιστικὰ κῶλα ζ', ὧν τὸ β' μὲν καὶ τὸ ζ' ἑφθημιμερῆ, τὰ δὲ λοιπὰ δίμετρα ἀκατάληκτα, ὧν προτίθεται κῶλον ἰαμβικὸν μονόμετρον βραχυκατάληκτον.*
1521. + *ἀναπαιστικὰ κῶλα θ', ὧν τὸ β' μὲν μονόμετρον, τὰ δὲ λοιπὰ* 5 *δίμετρα ἀκατάληκτα, τὸ δὲ θ' ἑφθημιμερές.*
1530. + *στροφὴ ἑτέρα κώλων ὁμοίων τοῖς ῥηθεῖσι χοριαμβικῶν ζ'.*
1538. + *ἀναπαιστικὰ κῶλα ι', ὧν τὸ α', τὸ γ', τὸ ς' καὶ τὸ θ' μονόμετρα, τὰ δὲ λοιπὰ δίμετρα ἀκατάληκτα, τὸ δὲ ι' ἑφθημιμερές.*
1547. + *χοριαμβικὰ κῶλα ὅμοια τοῖς ῥηθεῖσι δ'.* 10
1551. + *ἀναπαιστικὰ κῶλα θ', ὧν τὸ γ', τὸ ς' καὶ τὸ η' μονόμετρα, τὰ δὲ λοιπὰ δίμετρα ἀκατάληκτα, τὸ δὲ θ' ἑφθημιμερές.*
1560. + *ἑτέρα στροφὴ κώλων ὁμοίων τοῖς ῥηθεῖσι ζ'. ἔοικε δὲ ἀντιστροφὴ εἶναι τῆς στροφῆς ἧς ἡ ἀρχὴ ἀ μ η χ α ν ῶ· ὅμοια γὰρ ἔχει τὰ κῶλα.* 15
1567. + *ἀναπαιστικὰ κῶλα ι', ὧν τὸ β' μονόμετρον, τὰ δὲ λοιπὰ δίμετρα ἀκατάληκτα, τὸ δὲ ι' ἑφθημιμερές.*
1568. *μονόμετρον.*
1577. + *εἴσθεσις διπλῆς μονοστροφικῆς καὶ συνεχοῦς. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι οβ', ὧν τελευταῖος· ἀ μ φ ο ῖ ν* 20 *γ έ ν η τ α ι τ ο ῖ ν δ ε π α γ κ ρ α τ ὴ ς φ ο ν ε ύ ς.*
1648. *στίχοι οβ'.*
1649. + *εἴσθεσις διπλῆς συνεχοῦς ἐν ἐκθέσει τοῦ δράματος. οἱ δὲ στίχοι εἰσὶ τροχαϊκοὶ κε', ὧν οἱ κγ' τετράμετροι καταληκτικοί. οἱ δὲ ἐν τῶι τέλει β' τρίμετροι ὑπερκατάληκτοι.* 25

1 *ἑτέρων* F || 2 *τὸ*[2] om. F || 14 u. 1530 || 18 om. G || 20—21 u. 1648 || 22 om. G

SCHOLIA PROTO-TRICLINIANA IN EVMENIDES

1. + ἡ εἴσθεσις τοῦ παρόντος δράματος ἐκ μονοστροφικῆς ἐστι περιόδου, καὶ ἑξῆς ἐκ συνεχοῦς διπλῆς. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ρλγ'. μετὰ δὲ τὸν ρις', τὸν ριη', τὸν ρκ', τὸν ρκβ' κώλου
5 τμήματα δ', ἃ μονόμετρά ἐστι βραχυκατάληκτα. μετὰ δὲ τὸν ρκδ' ἕτερα β' κῶλα, ὧν τὸ ἓν δίμετρον βραχυκατάληκτον, τὸ δὲ ἕτερον ἑφθημιμερὲς ἐκ τριβραχέων. εἰ δὲ τροχαϊκὰ τὰ κῶλα ταῦτα εἴποις, οὐκ ἂν ἁμάρτοις. ὁ δὲ τελευταῖος· ἕπου μάραινε δευτέροις διώγμασιν.
10 **85.** μὴ ἀδικεῖν] συνίζησις.
86. μὴ ἀμελεῖν] συνίζησις.
140. στίχοι ρλγ'.
141. + ὁ παρὼν χορὸς συνέστηκεν ἐκ στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων σποράδην κειμένων ια', κώλων δὲ ἀντισπαστικῶν μο-
15 νομέτρων καὶ διμέτρων καὶ τριμέτρων καταληκτικῶν ⟨καὶ⟩ ἀκαταλήκτων καὶ βραχυκαταλήκτων κθ', ὧν τελευταῖον· μιάστορ' ἐκείνου πάσσεται.
178. στίχοι καὶ κῶλα μ'.
179. + εἴσθεσις διπλῆς· οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκα-
20 τάληκτοι ξε' ὧν τελευταῖος· αὐτοῦ φυλάσσων ἀναμένω τέλος δίκης.
194. τοιαύτας] κοινή.
197. τοιαύτης] κοινή.
243. στίχοι ξε'.
25 **244.** + εἶεν· τόδ' ἐστί· ὁ παρὼν χορὸς συνέστηκεν ἐκ στίχων καὶ κώλων λβ', ὧν οἱ μέν εἰσιν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι στίχοι ιη',

Codices **GFE**
4 κώλου **GE**, de **F** non constat; fort. κώλων F^{pc} κῶλα F^{ac} || 5 μονότερα **E** || 6 ὧν] ὡς **E** || 8 ἁμάρτης **E** | ὅπου **G** ἐπὶ **E** || 8—9 u. 139 || 10 om. **G** || 11 om. **G** || 12 om. **G** || 14 ιβ' **FE** || 15 add. Vict. || 16 τελευταῖος **E** || 16—17 u. 177 || 17 πάσσεται G^{pc} et in t. **GF** πράσσεται G^{ac}**FE** || 18 om. **G** || 20 ξγ' F^{ac} || 20—21 u. 243 || 22 om. **G** || 23 om. **G** || 24 om. **GE** || 25 εἶεν· τόδ' ἐστί t. εἶεν· τὸ δὲ 'στιν **GF** om. **E** || 26 ἐστι **F**

τὰ δὲ κῶλα ἀντισπαστικὰ ιδ′ ἡμιόλια καὶ πενθημιμερῆ καὶ δίμετρα καταληκτικὰ καὶ ἀκατάληκτα καὶ τρίμετρα βραχυκατάληκτα καὶ καταληκτικά.
275. στίχοι καὶ κῶλα λβ′.
276. + εἴσθεσις διπλῆς μερικῆς δύο περιόδων. οἱ δὲ στίχοι εἰσὶν ἰαμ- 5
βικοὶ τρίμετροι ἀκατάληκτοι λα′, ὧν τελευταῖος· ὕμνον ἀκούσηι τόνδε δέσμιον σέθεν.
300. μὴ οὐ] συνίζησις.
306. στίχοι λα′.
307. + ἄγε δή· ὁ παρὼν χορὸς συνέστηκεν ἐκ κώλων ἀναπαιστικῶν 10
ιε′, ὧν τὰ μέν ἐστι δίμετρα ἀκατάληκτα, τὰ δὲ καταληκτικά, ἤτοι ἐφθημιμερῆ, τὰ δὲ πενθημιμερῆ, τὰ δὲ μονόμετρα.
320. κῶλα ιε′.
321. + ἡ μονοστροφικὴ αὕτη περίοδος κώλων ἐστὶ χοριαμβικῶν κδ′,
ὧν τὰ μέν ἐστιν ἡμιόλια, τὰ δὲ δίμετρα καταληκτικὰ καὶ ἀκατάληκτα, 15
τὰ δὲ τρίμετρα, ὧν τελευταῖον· μικτὸς αὔονα βροτοῖς.
346. κῶλα κδ′.
349. + ὁ παρὼν χορὸς συνέστηκεν ἐκ κώλων χοριαμβικῶν νβ′, ὧν τὰ μέν εἰσιν ἡμιόλια, τὰ δὲ δίμετρα καταληκτικὰ καὶ ἀκατάληκτα,
τὰ δὲ τρίμετρα καταληκτικὰ καὶ βραχυκατάληκτα καὶ ἀκατάληκτα, 20
ὧν τελευταῖον· τάξιν γ᾽ ἔχουσα καὶ δυσήλιον κνέφας, ὃς μόνος ἰαμβικός ἐστι τρίμετρος.
349. ἐνταῦθα χρή, οἶμαι, εἶναι τὸ πρόσωπον.
352. ἐνταῦθα εἶχε πρόσωπον χοροῦ· οἶμαι δὲ οὐ καλῶς εἶχεν.
372. + καὶ ἐνταῦθα εἶχε ⟨πρόσωπον⟩ Ὀρέ(στου)· καὶ τοῦτο οὐ καλῶς. 25
396. κῶλα νβ′.
397. + εἴσθεσις διπλῆς μονοστροφικῆς συνεχοῦς. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ϛγ′, ὧν τελευταῖος· ἥξω διαιρεῖν πρᾶγμα τοῦτ᾽ ἐτητύμως.
424. τοιαύτας] κοινή. 30
488. στίχοι ϛγ′.
490. + νῦν καταστροφαί· ὁ παρὼν χορὸς συνέστηκεν ἐκ κώλων χοριαμβικῶν οβ′, ὧν τὰ μέν ἐστιν ἡμιόλια, τὰ δὲ δίμετρα καταληκτικὰ

4 om. G ‖ 6—7 u. 306 ‖ 8 om. GE ‖ 9 om. G ‖ 10 l. om. E ‖ 13 om. G ‖ 14 κῶλον E ‖ 15 εἰσιν FE ‖ 16 u. 333 ‖ 17 om. G ‖ 18 l. γινομέναισι add. G ‖ 19 τὰ μέν ἐστιν F[ac] τὰ μὲν F[pc] ‖ 21 τελευτῶν E | u. 395 | τάξιν τ᾽ E ‖ 23 om. G ‖ 24 om. G ‖ 25 om. GE | add. Smith ‖ 26 om. G ‖ 28—29 u. 488 ‖ 30 om. GF ‖ 31 om. G ‖ 32 l. om. E

καὶ ἀκατάληκτα καὶ βραχυκατάληκτα, τὰ δὲ τρίμετρα καταληκτικὰ καὶ ἀκατάληκτα καὶ βραχυκατάληκτα, ὧν τελευταῖον· ὤλετ' ἄκλαυστος ἄιστος.

565. *κῶλα οβ'.*

5 **566.** + *εἴσθεσις διπλῆς καθόλου. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ρμθ', ὧν τελευταῖος· σωτήριόν τε καὶ δορὸς νικηφόρον.*

691. *μὴ ἀδικεῖν] συνίζησις.*

749. *μὴ ἀδικεῖν] συνίζησις.*

10 **777.** *στίχοι ρμθ'.*

808. + *ᾠδὴ χοροῦ ἐπῳδικὴ διὰ τὸ μετὰ τὴν διπλῆν τίθεσθαι. ἔχει δὲ τοὺς πρώτους μὲν γ' στίχους ἰαμβικοὺς τριμέτρους ἀκαταλήκτους, τὰ δὲ ἑξῆς κῶλά εἰσιν ἀντισπαστικὰ πενθημιμερῆ καὶ δίμετρα καταληκτικὰ καὶ ἀκατάληκτα καὶ βραχυκατάληκτα καὶ τρίμετρα ιγ'.*

15 **823.** *στίχοι καὶ κῶλα ις'.*

824. + *εἴσθεσις διπλῆς ἀμοιβαίας καὶ μονοστρόφους ἔχουσα τὰς περιόδους. εἰσὶ δὲ τὰ τοῦ χοροῦ μὲν κῶλα ἀντισπαστικά, τὰ δὲ τοῦ ἑτέρου προσώπου ἰαμβικοὶ στίχοι τρίμετροι. τῆς πρώτης οὖν περιόδου ταύτης στίχοι εἰσὶν ἰαμβικοὶ ιγ'.*

20 **836.** *στίχοι ιγ'.*

837. + *ἡ στροφὴ αὕτη τοῦ χοροῦ κώλων ἐστὶν ἀντισπαστικῶν διμέτρων βραχυκαταλήκτων καὶ καταληκτικῶν καὶ πενθημιμερῶν καὶ μονομέτρων καὶ τριμέτρων ια'.*

846. *κῶλα ια'.*

25 **847.** + *ἡ μονοστροφικὴ αὕτη περίοδος στίχων ἐστὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων κβ'.*

869. *στίχοι κβ'.*

870. + *ἡ μεσῳδικὴ αὕτη ἀντιστροφὴ κώλων ἐστὶν ἀντισπαστικῶν ια'. τὰ αὐτὰ δέ ἐστι κῶλα ἃ καὶ ἐν τῆι στροφῆι εἴρηκεν.*

30 **880.** *κῶλα ια'.*

881. + *εἴσθεσις διπλῆς συνεχοῦς μερικῆς. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι λε', ὧν τελευταῖος· τήνδ' ἀστύνικον ἐν βροτοῖς τιμᾶν πόλιν.*

2 *καὶ βραχυκατάληκτα* duplicauit **E** || **2—3** u. 565 || **4** om. **G** || **6—7** u. 777 || uu. 582—644 desunt in **GFE**, uu. 681—718 desunt in **E** || **8** om. **E** || **9** om. **GE** || **10** om. **G** || uu. 778—807 desunt in **GFE** || **15** om. **G** || **18** *ταύτης* om. **FE** || **20** om. **G** | *ις'* **E** || **24** om. **G** || **25** *στροφικὴ* **FE** | *περίοδος αὕτη* **GF** || **27** om. **G** || **28** *ἀντιστροφικὴ* **FE** || **30** om. **G** || **32—33** u. 915 || **32** *ἀστυγείτονα* **F**[ac] || **33** *τιμᾶ* **G**

915. *στίχοι λε΄.*
916. *+ εἴσθεσις διπλῆς ἐν ἐκθέσει τοῦ δράματος ἀμοιβαίας ⟨καὶ μονοστροφικὰς⟩ τὰς περιόδους ἔχουσα. εἰσὶ δὲ τὰ μὲν τοῦ χοροῦ κῶλα χοριαμβικά, τὰ δὲ τοῦ ἑτέρου προσώπου ἀναπαιστικά. εἰσὶ δὲ τὰ τῆς πρώτης ταύτης στροφῆς κῶλα χοριαμβικὰ ὅμοια τοῖς προρρηθεῖσιν ια΄.* 5
923. *τύχας] τοῦτο περισσὸν πρὸς τὸ κῶλον τῆς ἀντιστροφῆς.*
925. *ἐξαμυρόσαι] καὶ τοῦτο περισσὸν πρὸς τὸ κῶλον τῆς ἀντιστροφῆς.*
926. *κῶλα ια΄.*
927. *+ τὰ κῶλα ταῦτα ἀναπαιστικά ἐστι δίμετρα καὶ μονόμετρα ια΄.*
931. *μονόμετρον.* 10
936. *μονόμετρον.*
937. *κῶλα ια΄.*
938. *+ τὰ τοῦ χοροῦ ταῦτα κῶλα χοριαμβικά ἐστιν ια΄ ὅμοια καὶ ἰσόμετρα τοῖς ἄνω. ἔστι δὲ ἀντιστροφὴ τῆς ἄνω στροφῆς.*
947. *κῶλα ια΄.* 15
948. *+ τὰ κῶλα ταῦτα ἀναπαιστικά ἐστι δίμετρα ἀκατάληκτα καὶ καταληκτικὰ ζ΄.*
955. *κῶλα ζ΄.*
956. *+ στροφὴ ἑτέρα. τὰ δὲ κῶλά εἰσι χοριαμβικὰ ὅμοια τοῖς ῥηθεῖσιν ιβ΄.* 20
967. *κῶλα ιβ΄.*
968. *+ τὰ κῶλα ταῦτα ἀναπαιστικά εἰσι δίμετρα καὶ μονόμετρα η΄.*
969. *μονόμετρον.*
974. *μονόμετρον.*
975. *κῶλα η΄.* 25
976. *+ ἀντιστροφὴ τῆς ἄνω στροφῆς. τὰ δὲ κῶλά ἐστι χοριαμβικὰ ὅμοια ιβ΄.*
987. *κῶλα ιβ΄.*
988. *+ τὰ κῶλα ταῦτα ἀναπαιστικά ἐστι δίμετρα καὶ μονόμετρα η΄.*
989. *μονόμετρον.* 30
994. *μονόμετρον.*
995. *κῶλα η΄.*

1 om. G | *κῶλα λε΄* E || 2—3 add. Smith || 4 *τοῦ ἑτοῦ ἑτέρου* E || 5 *τροφῆς* E || 6 om. GE || 7 *καὶ* om. E || 8 om. G || 10 om. GE || 11 om. GE || 12 om. G || 14 *τῆς ἄνω στροφῆς ἀντιστροφή* G || 15 om. G || 17 *ζ΄* om. E || 18 om. G || 21 om. G || 22 *ιη΄* E || 23 om. GE || 24 om. GE || 25 om. GE || 28 uu. 983—1047 desunt in E | om. G || 29 *εἰσι* F || 30 om. G || 31 om. G || 32 om. G

996. + *στροφὴ ἑτέρα. τὰ δὲ κῶλά εἰσι χοριαμβικὰ ὅμοια τοῖς ῥη-θεῖσιν ζ'.*
1002. *κῶλα ζ'.*
1003. + *τὰ κῶλα ταῦτα ἀναπαιστικά ἐστι καὶ δίμετρα καὶ μονό-*
5 *μετρα ια'.*
1012. *μονόμετρον.*
1013. *κῶλα ια'.*
1014. + *ἑτέρα στροφή. τὰ δὲ κῶλά ἐστι χοριαμβικὰ ὅμοια τοῖς ῥηθεῖσιν η'.*
10 **1020.** *κῶλα η'.*
1021. + *ἑτέρα περίοδος ἐν ἐκθέσει τοῦ δράματος. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ιη'.*
1031. *στίχοι ιη'.*
1032. + *ἑτέρα στροφὴ ἐν ἐκθέσει τελευταίαι τοῦ δράματος. τὰ δὲ*
15 *κῶλα χοριαμβικά ἐστιν ὅμοια τοῖς ῥηθεῖσιν δεκαέξ.*

3 om. **G** || 6 om. **G** || 7 om. **G** || 8 *εἰσι* **F** || 10 om. **G** || 13 om. **G** || 14 *στροφὴ ἑτέρα* **G**

DEMETRII TRICLINII SCHOLIA IN AGAMEMNONEM

παλαιόν. Ὑπόθεσις τοῦ προκειμένου δράματος. Ἀγαμέμνων εἰς Ἴλιον ἀπιὼν τῆι Κλυταιμνήστραι, εἰ πορθήσει τὸ Ἴλιον, ὑπέσχετο κατ' αὐτὴν σημανεῖν τὴν ἡμέραν διὰ πυρσοῦ. ὅθεν σκοπὸν ἐκάθισεν 5
ἐπὶ μισθῶι Κλυταιμνήστρα ὥστε σκοπεῖν τὸν πυρσόν. ὁ μὲν οὖν ἰδὼν ἀπήγγειλεν, αὐτὴ δὲ τὸν τῶν πρεσβυτῶν μεταπέμπεται ὄχλον ἐροῦσα περὶ τοῦ πυρσοῦ ἐξ ὧν δὴ καὶ ὁ χορὸς συνίσταται· οἵτινες ἀκούσαντες παιανίζουσι. μετ' οὐ πολὺ δὲ καὶ Ταλθύβιος παραγίνεται καὶ τὰ κατὰ τὸν πλοῦν διηγεῖται. Ἀγαμέμνων δὲ ἐπὶ ἀπήνης ἔρχεται· εἵπετο δὲ 10
αὐτῶι καὶ ἑτέρα ἀπήνη, ἔνθα ἦν τὰ λάφυρα καὶ ἡ Κασάνδρα. αὐτὸς μὲν οὖν προσέρχεται εἰς τὸν οἶκον σὺν τῆι Κλυταιμνήστραι ὑπαντησάσηι αὐτῶι, Κασάνδρα δὲ προμαντεύεται, πρὶν εἰσελθεῖν τὰ βασίλεια, τὸν ἑαυτῆς τε καὶ Ἀγαμέμνονος θάνατον καὶ τὴν Ὀρέστου μητροκτονίαν καὶ εἰσπηδᾶι ὡς θανουμένη, ῥίψασα τὰ στέμματα. τοῦτο δὲ τὸ μέρος 15
τοῦ δράματος θαυμαστόν ἐστιν ὡς καὶ ἔκπληξιν καὶ οἶκτον ἱκανὸν ἐμποιεῖν. ἰδίως δὲ Αἰσχύλος τὸν Ἀγαμέμνονα ἐπὶ σκηνῆς ἀναιρεῖσθαι ποιεῖ, τὸν δὲ Κασάνδρας σιωπήσας θάνατον νεκρὰν αὐτὴν ἀποδείκνυσιν. πεποίηκε δὲ Αἴγισθον καὶ Κλυταιμνήστραν διισχυριζομένους περὶ τῆς ἀναιρέσεως ἑνὶ κεφαλαίωι, τὴν μὲν τὴν ἀναίρεσιν Ἰφιγενείας προ- 20
βαλλομένην, τὸν δὲ τὴν Θυέστου ἐξ Ἀτρέως συμφοράν.

Ἐδιδάχθη τὸ δρᾶμα ἐπὶ ἄρχοντος Φιλοκλέους ὀλυμπιάδι κη' ἔτει δευτέρωι. τὰ τοῦ δράματος πρόσωπα· φύλαξ, χορός γερόντων, Κλυταιμνήστρα, κῆρυξ Ταλθύβιος, Ἀγαμέμνων, Κασάνδρα, Αἴγισθος. προλογίζει ὁ φύλαξ. 25

1 a. *ἡμέτερον. + ἡ εἴσθεσις τοῦ δράματος ἐκ συστηματικῆς ἐστι περιόδου. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι λη', ὧν τελευταῖος· μαθοῦσιν αὐδῶ κοὐ μαθοῦσι λήθομαι. μετὰ*

22 cf. sch. uet. p. 1, 21 || 28 u. 39

δὲ τὸν κδ' κῶλον ἰαμβικὸν μονόμετρον ἀκατάληκτον. ἐπὶ τῶι τέλει κορωνὶς εἰσιόντος τοῦ χοροῦ.

1b. *+ τὸ προοίμιον εὐκτικόν.*

1c. *θεοὺς] τούς.*

5 **1d.** *αἰτῶ] ζητῶ.*

1e. *ἀπαλλαγὴν] ἐλευθερίαν.*

2a. *σχόλια παλαιά. Ἀστείως εἴρηται τὸ κοιμώμενος ἐπὶ μὴ ὑπνοῦντος. πῶς γὰρ ἂν καὶ φρουροίη καὶ ἄστρα βλέποι τις ὑπνῶν; ἀλλ' ἐπὶ ἀνακλίσεως ἁπλῶς εἴρηται, ἵν' εἴη ὁ φύλαξ οὗτος κοιμώμενος*
10 *καθὰ καὶ κύων ἐν φυλακῆι νυκτερινῆι.*

2b. *φρουρᾶς ἐτείας] τῆς φυλακῆς λέγω τῆς χρονίας.*

2c. *μῆκος] ἐπί.*

2d. *κοιμώμενος] ἀνακλινόμενος.*

3a. *στέγαις] ἐν.*

15 **3b.** *στέγαις] τοῖς οἴκοις.*

3c. *Ἀτρειδῶν] τῶν.*

3d. *ἄγκαθεν] ἐν ἀγκάλαις.*

3e. *κυνὸς δίκην] τρόπον.*

3f. *Κυνὸς δίκην διὰ τὸ φυλακτικόν τε καὶ φιλοδέσποτον, καὶ ὅτι*
20 *κρύπτων καὶ αὐτὸς τὴν κεφαλὴν ὑπὸ τοῖς ποσὶ ποιεῖται τὴν φυλακὴν τῶν οἴκων κατὰ τὴν νύκτα.*

4a. *κάτοιδα] γινώσκω, ἔμαθον.*

4b. *ὁμήγυριν] ἤτοι τὸ πλῆθος.*

5a. *χεῖμα] ἤγουν χειμῶνα καὶ θέρος.*

25 **5b.** *βροτοῖς] τοῖς.*

6a. *δυνάστας] ἄρχοντας τῶν καιρῶν.*

6b. *ἐμπρέποντας] διαπρέποντας.*

6c. *αἰθέρι] ἐν.*

7a. *φθίνωσιν] δύνωσιν.*

30 **7b.** *ἀντολάς] τὰς ἀνατολάς.*

7c. *τῶν] τούτων.*

8a. *ἑτέρα κατασκευή.*

8b. *φυλάσσω] ἐπιτηρῶ.*

8c. *λαμπάδος] ἤτοι τοῦ φρυκτοῦ.*

13 cf. sch. uet. 2e || **17** cf. sch. uet. Eum. 80 || **19** cf. sch. uet. 3c || **29** cf. sch. uet. 7

19 *φυλοδέσποτον* **T**

8d. *τὸ σύμβολον] τὸ σημεῖον.*
9a. *αὐγὴν πυρὸς] ἤγουν φρυκτωρίας λάμψιν.*
9b. *φάτιν] φήμην τῆς νίκης καὶ τῆς ἁλώσεως.*
10a. *ἁλώσιμον] πορθητικήν.*
10b. *βάξιν] φήμην.*
10c. *ὧδε] οὕτω.*
11a. *γυναικὸς] τῆς Κλυταιμνήστρας.*
11b. *ἀνδρόβουλον] τὸ κατ' ἄνδρα βουλευόμενον.*
11c. *κέαρ] ἡ ψυχή.*
12a. *βάσις.*
12b. *εὖτ'] ἡνίκα.*
12c. *νυκτίπλαγκτον] ἐν νυκτὶ πλανωμένην, ἄγρυπνον.*
12d. *ἔνδροσον] διὰ τὸ ὑπαίθριον κεῖσθαι.*
13a. *εὐνὴν] κοίτην.*
13b. *ὀνείροις] ἤγουν ἄγρυπνον· οἱ γὰρ ἀγρυπνοῦντες οὐ βλέπουσιν ὀνείρατα.*
14. *παραστατεῖ] παρίσταται, ἐπέρχεται.*
15. *συμβαλεῖν] συγκλεῖσαι.*
16a. *Τοῦτο κατὰ τὴν παροιμίαν φησὶ τὴν λέγουσαν φρουρᾶς ἄιδει.*
16b. *ἀείδειν] ἤγουν χαρμόσυνα μέλπει.*
16c. *μινύρεσθαι] θρηνητικὰ ἄιδειν.*
17a. *ἀντίμολπον] ἐναντίον πρὸς τὸν ὕπνον.*
17b. *ἐντέμνων] ποιῶν.*
18. *συμφορὰν] τὴν οὖσαν διὰ τὴν μοιχείαν Αἰγίσθου.*
19. *οὐ διαπονουμένου καὶ διοικουμένου ἄριστα ὡς πρόσθεν, ἤγουν καλῶς.*
20. *ἀπαλλαγὴ] ἐλευθερία.*
21. *ὀρφναίου] νυκτερινοῦ.*
22. *Δεῖ διαστήματος ὀλίγου ἐνταῦθα, εἶτα ἀνακραγεῖν ὡς θεασάμενον τὸν πυρσόν. ὦ λαμπτὴρ τῆς νυκτὸς χαῖρε ὁ διδοὺς ἡμῖν φωταυγῆ ἡμέραν.*
23a. *πιφαύσκων] φαίνων.*
23b. *χορῶν] ἤγουν εὐφροσύνης.*
24. *συμφορᾶς] τοῦ συμβάντος ἁπλῶς.*

5 cf. sch. uet. 10a ‖ **8** cf. sch. uet. 11b ‖ **19** sch. Ar. Nub. 721 C. P. G. II 88, 15. 714, 22 sch. Tz. Ar. Nub. 721b ‖ **22** cf. sch. uet. 17 ‖ **25—26** cf. sch. uet. 18, 19 ‖ **29—31** cf. sch. uet. 22abc

26a. *σημανῶ*] *δηλώσω.*
26b. *τορῶς*] *ἀληθῶς ἢ ὀξέως.*
27a. *εὐνῆς*] *ἐξ.*
27b. *ἐπαντείλασαν*] *δίκην ἄστρου φαινομένην.*
5 **27c.** *δόμοις*] *ἐν.*
28a. *ὀλολυγμὸν*] *μετὰ θρήνου ὕμνον.*
28b. *λαμπάδι*] *τῆι φρυκτωρίαι.*
29a. *ἐπορθιάζειν*] *ὀξέως ποιεῖν προσφέρειν ἐκείνηι.*
29b. *Ἰλίου*] *τοῦ.*
10 **29c.** *πόλις*] *ἤτοι τὸ Ἴλιον.*
30a. *ἑάλωκεν*] *πεπόρθηται.*
30b. *φρυκτὸς*] *ὁ φανός.*
30c. *ἀγγέλλων*] *μηνύων.*
30d. *πρέπει*] *διαπρέπει.*
15 **31.** *φροίμιον*] *ἤγουν πρῶτος, τουτέστι πρὸ τῆς Κλυταιμνήστρας.*
32a. *ση(μείωσαι).*
32b. *εὖ πεσόντα*] *ἐπελθόντα, γεγονότα.*
32c. *θήσομαι*] *ἤγουν δείξω.*
32d. *ἡμέτερον + διὰ τῆς ἡμετέρας εὐφροσύνης καὶ τῆς χορείας δείξω*
20 *καὶ ἐγὼ τὰ συμπεσόντα νῦν τοῖς δεσπόταις ὡς καλῶς ἔπεσον καὶ ἐγένοντο.*
33a. *Παροιμία τὸ* τρὶς ἓξ βάλλειν *ἐπὶ τῶν ἄκρως εὐτυχούντων, ἐπεὶ καὶ τοῖς κυβευταῖς οὐκ ἔστι πλείω τούτων εὐθυβολῆσαι. λέγουσι δὲ ταύτην καὶ ἑτέρως·* ἀεὶ γὰρ εὖ πίπτουσιν οἱ Διὸς κύβοι.
25 **33b.** *παρ(οιμία).*
33c. *βαλούσης*] *ἤγουν εὐτυχῶς ἀποβάσης ἐμοὶ τῆς τοῦ πυρσοῦ φυλακῆς.*
34. *μολόντος*] *ἐλθόντος τοῦ δεσπότου.*
35. *ἄνακτος*] *τοῦ Ἀγαμέμνονος.*
30 **36.** *Παροιμία ἐστὶ τὸ* βοῦν ἐπὶ γλώττης *φέρει ἐπὶ τῶν μὴ λαλούντων διά τινα αἰτίαν. λέγει οὖν καὶ οὗτος ἢ ἀντὶ τοῦ βάρος μοι ἐπίκειται, ἢ φοβοῦμαι ζημίαν ἐπικεισομένην μοι.*
37a. *βέβηκεν*] *ἐπίκειται.*
37b. *φθογγὴν*] *ἤγουν φωνήν.*

4 cf. sch. uet. 27a || **15** cf. sch. uet. 31 || **22.24** cf. sch. uet. 33ab || **30** cf. sch. uet. 36

24 cf. sch. uet. 33a

38a. *σαφέστατ'*] *φανερῶς.*
38b. *λέξειεν*] *εἴποι.*
38c. *ὡς*] *ὅτι.*
39a. *μαθοῦσιν*] *τοῖς γινώσκουσι τὰ περὶ τῆς μοιχείας λέγω.*
39b. *λήθομαι*] *προσποιοῦμαι ἐπιλελῆσθαι, ἤγουν μὴ εἰδέναι.* 5
40a. *στροφὴ συστηματικὴ κώλων ξδ'.*
40b. *ἡμέτερα + δέκατον μὲν ἔτος· τὰ τοιαῦτα εἴδη τῶν χορῶν, ὡς εἴρηται καὶ ἐν τῆι ἀρχῆι τοῦ τῶν Περσῶν δράματος, ἑτέρως εἰσὶν ἐσχηματισμένα. τὰ μὲν γάρ εἰσι μονοστροφικὰ καὶ συστηματικὰ ἐξ ὁμοίων κατὰ περιορισμοὺς ἀνίσους, τὰ δὲ κατὰ σχέσιν. εἰσὶ δὲ τὰ* 10 *κατὰ σχέσιν στροφῶν ἕξ. ἔστι δὲ τῆς παρούσης μονοστρόφου στροφῆς τὰ κῶλα ἀναπαιστικὰ ξδ', ὧν τὰ μέν εἰσι δίμετρα ἀκατάληκτα, τὰ δὲ μονόμετρα, τὰ δὲ τῶν ἀποθέσεων δίμετρα καταληκτικὰ ἤτοι ἑφθημιμερῆ. ἐπὶ ταῖς ἀποθέσεσι πάσαις παράγραφος.*
40c. *ἔτος*] *ἐστί.* 15
40d. *ἐπεὶ*] *ἀφ' οὗ.*
41. *ἀντίδικος*] *ἐχθρός, ἀπὸ τῶν ἐν ταῖς δίκαις ἐχθρῶν ἡ μεταφορά.*
42. *ἠδ'*] *καί.*
43. *διόθεν*] *ἐκ Διὸς γὰρ ἡ βασιλεία δίδοται.*
44. *ὀχυρὸν*] *ἰσχυρόν.* 20
45. *Ἀργείων*] *ἀπὸ μέρους τῶν Ἑλλήνων.*
46. *χώρας*] *τοῦ Ἄργους ἢ τῆς Ἑλληνικῆς.*
47a. *ἦραν*] *ἐκίνησαν.*
47b. *στρατιῶτιν*] *στρατιωτικήν.*
47c. *ἀρωγάν*] *βοήθειαν.* 25
48a. *ἐκ θυμοῦ*] *οὐ γλώσσηι, ἀλλ' ἔργωι θυμούμενοι.*
48b. *κλάγξαντες*] *βοήσαντες, ἠχήσαντες.*
49a. *τρόπον*] *δίκην.*
49b. *αἰγυπιῶν*] *ἀετῶν.*
50a. *+ ἐκπατίοις τοῖς ἔξω τῆς ὁδοῦ· πάτος γὰρ ἡ ὁδός. ἢ ἐκπατίοις* 30 *λεχέων ἀντὶ τοῦ τοῖς ἔξω τῆς οἰκίας αὐτῶν. τὸ δὲ ὅλον· οἵτινες ἀπολέσαντες τὸν πόνον τῶν ὀρταλίχων τῶν ἐν τοῖς δεμνίοις τηρουμένων — οὕτω γὰρ ὤφειλεν εἰπεῖν — στροφοδινοῦνται ἐν ἄλγεσι τῶν παίδων*

16 cf. sch. uet. 40 || 17 cf. sch. uet. 41 || 26 cf. sch. uet. 48a || 27 cf. sch. uet. 48b || 30 — p. 100, 1 cf. sch. uet. 50—54 || 30—31 cf. sch. uet. 50ab sch. D. Hom. *Z* 202 Ap. S. *πάτον* Hesych.

8 *ὡς εἴρηται*] cf. sch. T Pers. 1 || 31 *τῆς* Vict. *τοῖς* **T**

ἐκπατίοις ὕπατοι, ἤγουν ὑπεράνω τῶν λεχέων, πληττόμενοι ταῖς πτέρυξιν αὐτῶν. δέον δὲ εἰπεῖν ἐκπατίων παίδων, ἐ κ π α τ ί ο ι ς εἶπε πρὸς τὸ ἄ λ γ ε σ ι ν.

50b. *ἐκπατίοις] τοῖς ἔξω τῆς ὁδοῦ.*

5 **51a.** *ὕπατοι] ὑπέρτατοι, ἤτοι ὑπεράνω.*

51b. *λεχέων] τῆς καλιᾶς.*

51c. *στροφοδινοῦνται] στρέφονται, περιίπτανται.*

52a. *ἐρετμοῖσιν] κινήσεσιν.*

52b. *ἐρεσσόμενοι] πληττόμενοι.*

10 **53.** *δεμνιοτήρη] ὃν εἶχον πόνον εἰς τὸ φυλάσσειν τὰ ἐν τῆι καλιᾶι τέκνα.*

54a. *ὀρταλίχων] νεοσσῶν.*

54b. *ὀλέσαντες] ἀπολέσαντες· οὐ γὰρ ἔτι πονήσουσιν.*

55a. *ὕπατος] ὁ ὑπέρτατος.*

55b. *ἀίων] ἐπακούσας.*

15 **56a.** *οἰωνόθροον] ἤγουν τὸν τῶν ἀετῶν θρῆνον.*

56b. *ὀξυβόαν] τὸν μετ᾽ ὀξείας βοῆς γινόμενον.*

57a. *Ὑπὲρ τῶν μετοικισθέντων νεοσσῶν πέμπει τοῖς παραβᾶσι καὶ μετοικίσασιν αὐτοὺς ὕστερον τιμωρίαν.*

57b. *μετοίκων] τῶν μετοικισθέντων νεοσσῶν.*

20 **58.** *ὑστερόποινον] ἤτοι ὕστερον.*

59a. *παραβᾶσι] τοῖς.*

59b. *παραβᾶσι] ἤγουν τοῖς παρανόμοις ἐκείνοις.*

59c. *ἐριννύν] φθοράν, τιμωρίαν.*

60. *ὁ κρείσσων] ὁ θεός.*

25 **61.** *ξένιος] ὁ φίλιος.*

62a. *Π ο λ υ ά ν ο ρ ο ς· πολυάνδρου, ἐν ὧι ζήτει καὶ Λυκόφρονος τὰ περὶ Ἑλένης εἰρημένα π ε ν τ ά γ α μ β ρ α ν υ μ φ ε ῖ α.*

62b. *πολυάνορος] τῆς πολλοὺς μνηστῆρας ἐσχηκυίας.*

62c. *γυναικὸς] τῆς Ἑλένης.*

30 **63a.** *παλαίσματα] ἀγωνίσματα, μάχας.*

63b. *γυιοβαρῆ] βαροῦντα τὰ μέλη τῶν ἀγωνιζομένων.*

64a. *κονίαισιν] ἐν τῆι γῆι.*

64b. *ἐρειπομένου] πίπτοντος.*

65a. *διακναιομένης] λυπουμένης διὰ τοὺς πολέμους.*

11 cf. sch. uet. 54a || **17—18** cf. sch. uet. 57c || **19** cf. sch. uet. 57a || **28** cf. sch. uet. 62

27 Lycophr. 146

65b. *Προτελείοις· κυρίως ταῖς πρὸ γάμου θυσίαις, νῦν δὲ ταῖς πρὸ τῆς ἁλώσεως μάχαις. τὸ δὲ ὅλον οὕτω· πιπτόντων ἐπὶ γόνυ καὶ ἀμφοτέρων τῶν στρατευμάτων ὁμοίως, ἤτοι νικωμένων ἐν ἀρχαῖς τῆς μάχης, μέχρις ἂν τελεσθείη τὸ πεπρωμένον.*
65c. *ἐν προτελείοις] ἐν ἀρχαῖς.* 5
66a. *κάμακος] τοῦ δόρατος.*
66b. *Δαναοῖσιν] τοῖς Ἕλλησιν.*
68. *πεπρωμένον] τὸ μεμοιρασμένον.*
69a. *ὑποκλαίων] λείπει τίς.*
69b. *ὑπολείβων] σπένδων.* 10
70a. *ἡμέτερον + δέον εἰπεῖν οὐ θέλξει τὰς ὀργὰς τῶν Ἐριννύων τῶν δεχομένων τὰ ἄπυρα ἱερὰ ἤγουν τὰς ἀπύρους θυσίας, ὁ δὲ τὰς ὀργὰς εἶπε τῶν ἀπύρων ἱερῶν. εὐτελῆ γάρ τινα ταύταις ἔθυον μὴ δεόμενα πυρός.*
70b. *ἀπύρων ἱερῶν] ἤγουν τῶν Ἐριννύων.* 15
71a. *ἀτενεῖς] μεγάλας, ἐκτεταμένας.*
71b. *παραθέλξει] ἤγουν παρακρούσεται θέλξας.*
72a. *ἀτίται] ἤγουν βεβλαμμένοι.*
72b. *σαρκὶ παλαιᾶι] ἤτοι τῶι γήραι.*
73. *ἀρωγῆς] βοηθείας.* 20
74a. *μίμνομεν] μένομεν ἐνταῦθα.*
74b. *ἰσχὺν] δύναμιν, ὑπηρεσίαν.*
75a. *ἰσόπαιδα] ἤγουν ἀσθενῆ καὶ οἷα ἡ τῶν παίδων.*
75b. *νέμοντες] παρέχοντες.*
75c. *σκήπτροις] τῆι βασιλικῆι ἐξουσίαι.* 25
76a. *ἡμέτερα + τοῦτο εἰπεῖν διὰ τούτων βούλεται ὅτι ὥσπερ τῶν νεαρῶν παίδων ἡ δύναμις ἴση ἐστὶ τῆι τῶν πρεσβυτῶν, ἤγουν ἀσθενής, καὶ οὐκ ἔστιν ἐξ αὐτῆς βοήθειά τις τῆι χώραι, οὕτω καὶ οἱ ὑπεργηράσαντες ἄνθρωποι ξηρανθείσης τῆς ἀκμῆς αὐτῶν τῆς ἐκ τῆς νεότητος πορεύονται μὲν ὁδοὺς τρίποδος — τουτέστι διὰ βακτηρίας ποιοῦνται τὴν πο- 30 ρείαν — πλανῶνται δὲ καὶ περιφέρονται ὥσπερ ὄναρ ἡμερινόν, οὐδὲν διαφέροντες τῶν ἀσθενῶν παίδων. πρῶτον δὲ οὐδετέρως εἰπὼν τὸ ὑπέργηρων, εἶτα ἀρσενικῶς ἐπέφερε τὸ ἀρείων παρὰ τὸ σημαινόμενον, ἤτοι πρὸς τὸν γέροντα.*
76b. *ὡρ(αῖον).* 35

1 cf. sch. uet. 65b || 6 cf. sch. uet. 66 || 9 cf. sch. uet. 69 || 19 cf. sch. uet. 72b

76c. *νεαρὸς*] *ὁ νέος ἤτοι ὁ τῶν νέων.*
76d. *μυελὸς*] *ἤγουν ἡ τῶν μελῶν δύναμις.*
77. *ἀνάσσων*] *ἄρχων, ἰσχύων.*
78a. *ἰσόπρεσβυς*] *ἴσος τῶι τῶν γηραιῶν ἤγουν ἀσθενής ἐστιν.*
5 **78b.** *ἄρης*] *βοήθεια.*
78c. *ἐνὶ χώραι*] *ἐξ ἐκείνων ἤγουν τῶν νέων, τῶν παίδων.*
79a. *ὑπέργηρων*] *ἤγουν τὸ πολλὰ γηράσαν.*
79b. *φυλλάδος*] *ἤγουν τοῦ ἄνθους τῆς νεότητος.*
80. *κατακαρφομένης*] *ξηρανθείσης.*
10 **81a.** *στείχει*] *πορεύεται.*
81b. *παιδὸς*] *νέου βρέφους.*
81c. *οὐδὲν*] *οὐδαμῶς.*
81d. *οὐδὲν ἀρείων*] *ἀλλ' ἴσος.*
81e. *ἀρείων*] *κρείττων.*
15 **82a.** *ὄναρ*] *ἤγουν ὄναρ ἐστὶν ὁ γέρων ἐν ἡμέραι φαινόμενον.*
82b. *ἀλαίνει*] *πλανᾶται ὁ γέρων.*
83. *Τυνδάρεω*] *τοῦ.*
84a. *θύγατερ*] *ὦ.*
84b. *βασίλεια*] *βασίλισσα.*
20 **85.** *ἐπαισθομένη*] *νοήσασα.*
86. *τίνος ἀγγελίας*] *ἤγουν ὑπὸ ποίας ἀγγελίας πεισθεῖσα.*
87a. *περίπεμπτα*] *ἤγουν πανταχοῦ διαπέμπουσα.*
87b. *θυοσκινεῖς*] *θύματα κινεῖς, πέμπεις.*
87c. *Εὕρηται καὶ θυοσκοεῖς ὡς ἀπὸ τοῦ θυοσκόος, ὁ διὰ θυσιῶν τὸ*
25 *μέλλον κοῶν ἤτοι νοῶν. θύος γὰρ τὸ θῦμα.*
88. *ἀστυνόμων*] *τῶν μεμερισμένων κατὰ τὸ ἄστυ.*
89a. *ὑπάτων*] *τῶν ἐξόχων.*
89b. *χθονίων*] *τῶν ὑπὸ γῆν.*
90. *ἀγοραίων*] *τῶν κατὰ τὴν ἀγορὰν ὄντων.*
30 **91a.** *βωμοὶ*] *ναοί.*
91b. *δώροισι*] *θύμασι.*
91c. *φλέγονται*] *λάμπονται καιομένων τῶν θυμάτων.*
92. *οὐρανομήκης*] *ἤγουν μεγάλη καθ' ὑπερβολήν.*

9 cf. sch. uet. 80 || **15** cf. sch. uet. 82a || **24—25** sch. Ar. Eq. 62ab Et. Gen. *θυοσκόος* E. M. 457, 41 Or. 102, 21 (e Philoxeno) Ap. S. 88, 33 cf. Et. Gen. *θυηλάς* An. Ox. II 448, 19

7 *γηρᾶσαν* **T**

93. *ἀνίσχει*] *ἀναλάμπει.*
94a. + *ἀπὸ μεταφορᾶς τῶν ἰατρῶν τοῦτο εἴρηται τῶν διά τινων φαρμάκων καὶ χρισμάτων μαλακῶν καὶ καθαρῶν θεραπευόντων τοὺς ἀσθενοῦντας.*
94b. *φαρμασσομένη*] *θεραπευομένη.* 5
94c. *ἁγνοῦ*] *τοῦ ἐλαίου καθαροῦ.*
95a. *ἀδόλοισι*] *καθαραῖς.*
95b. *παρηγορίαις*] *θεραπείαις.*
96a. *πελάνωι*] *θύματι.*
96b. *μυχόθεν*] *ἤγουν ἐκ τῶν μυχῶν, τουτέστι τῶν θαλάμων. τῶν* 10 *βασιλείων ὤφειλεν εἰπεῖν.*
97. *ὅτι*] *ἐστί.*
98a. *θέμις*] *δίκαιον.*
98b. *εἰπεῖν*] *πρὸς ἡμᾶς.*
99a. *παιών*] *θεραπευτής, ἰατρός.* 15
99b. *τῆσδε μερίμνης*] *τῆς ἡμῶν φροντίδος τῆς περὶ τούτου.*
100a. *ἣ νῦν*] *ἥτις δή.*
100b. *νῦν*] *δή.*
100c. *τοτὲ*] *ποτέ.*
100d. *κακόφρων*] *κακὰ διαλογιζομένη.* 20
100e. *τελέθει*] *ὑπάρχει.*
101a. *τοτὲ*] *ποτέ.*
101b. *ἀγανὰ*] *εὔφραντά.*
101c. *φαίνουσ'*] *δεικνῦσα.*
102a. *ἀμύνει*] *βοηθεῖ.* 25
102b. *ἄπληστον*] *τὴν ἀκόρεστον.*
103a. *θυμοβόρον*] *τὴν βιβρώσκουσαν τὴν ψυχὴν καὶ λυποῦσαν τὰς φρένας καὶ τὸν λογισμόν.*
103b. *ἡμέτερα* + *ἡ φροντίς, φησί, ποτὲ μὲν κακὰ διαλογίζεται περὶ τῶν ἀποδημούντων, δηλονότι φίλων, ποτὲ δὲ θυσίας ποιοῦσα λαμ-* 30 *βάνει χρηστὸν ἐλπίδα, ἥτις ἡ ἐλπὶς θεραπεύει τὴν τοιαύτην φροντίδα τὴν βιβρώσκουσαν τὴν ψυχὴν καὶ λυποῦσαν τὰς φρένας καὶ τὸν λογισμόν. τῆξις γάρ, φησί, καρδίας ἔμμονος λογισμός. λυποφρένα δὲ γράφε· οὕτω γὰρ ἔχει πρὸς τὸ μέτρον ὀρθῶς. δέον δὲ εἰπεῖν καὶ λυποφρένα, ⟨λυποφρένα⟩ ἀσυνδέτως ἐπέφερεν.* 35

6 cf. sch. uet. 94b || **15** cf. sch. uet. 99 || **27** cf. Hesych. *θυμοβόρον*
29 *ἡμέτερα*] sch. 103b. 104b. 105d || **35** add. Smith

104a. *στροφὴ ἑτέρα κώλων ιθ'.*

104b. + *κύριός εἰμι· ἐντεῦθεν αἱ κατὰ σχέσιν ἄρχονται στροφαί. καί εἰσι τῆς πρώτης ταυτησὶ στροφῆς κῶλα ιθ' καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα. εἰσὶ δὲ τὰ πλείω μὲν ἀναπαιστικὰ δίμετρα ἀκατάληκτα* 5 *καὶ καταληκτικὰ ἤτοι ἑφθημιμερῆ καὶ μονόμετρα καὶ πενθημιμερῆ, τινὰ δὲ καὶ δακτυλικὰ καὶ ἰαμβικά, ἃ καὶ μετρήσεις ἑπόμενος οἷς πρότερον εἰρήκαμεν. τὸ μέντοι τελευταῖον κῶλον τῆς τε στροφῆς καὶ ἀντιστροφῆς καὶ τῆς ἐπωιδοῦ καλεῖται ἐφύμνιον· καὶ ἔστι δακτυλικὸν πεντάμετρον. ἐπὶ τῶι τέλει τῆς στροφῆς καὶ ἀντιστροφῆς παράγραφος.* 10 *ἔστι δὲ τριὰς ἐπωιδική.*

104c. *κύριος] ἤγουν δυνατός εἰμι εἰπεῖν τὸ συμβὰν αὐτοῖς σημεῖον ἐν ὁδῶι ἐξιοῦσιν ἀγαθόν.*

105a. *αἴσιον] ἀγαθόν.*

105b. *ἐκτελέων] τῶν ἐν τέλει ὄντων ἤτοι τῶν βασιλέων.*

15 **105c.** *Ἔτι γὰρ θεόθεν· ὁ γὰρ σύμφυτός μοι αἰών, ὅ ἐστι τὸ γῆρας, διὰ τὴν εἰς θεοὺς πειθὼ μολπήν μοι καὶ ἀλκὴν καταπνεῖ, ὅ ἐστιν εἰ καὶ γέρων εἰμί, ὅμως μέλψω τὰ γεγονότα· πέποιθα γὰρ ὅτι εἰς πέρας αὐτὰ ἄξουσιν οἱ θεοί.*

105d. + *ἔτι γὰρ θεόθεν· τοῦτο βούλεται εἰπεῖν· εἰ καὶ δοκῶ* 20 *ἀσυντελής τις εἶναι διὰ τὸ γῆρας, ἀλλ' οὐκ εἰμί. ἔτι γὰρ ὁ σύμφυτός μοι αἰών, ἤγουν ἡ μέχρι τοῦ νῦν παραταθεῖσά μοι ζωὴ καὶ τὸ γῆρας, καταπνέει μοι πειθὼ θεόθεν καὶ ἀλκήν, ἤγουν καταπείθει με καὶ δίδωσί μοι ἀλκὴν καὶ δύναμιν μέλπειν καὶ λέγειν ὅπως τὸ δίθρονον κράτος τῶν Ἀχαιῶν, ἤτοι τοὺς δύο βασιλεῖς, καὶ τὴν ἥβην τῆς Ἑλλάδος, τουτ-* 25 *έστι τὴν ἀκμαίαν ἡλικίαν, τὴν σύμφρονα καὶ ὁμόφρονα τάξιν, ἤγουν τὰ τάγματα τὰ ὁμόφρονα, πέμπει ἐπὶ τὴν γῆν τὴν Τευκρίδα καὶ τὴν Τρωϊκὴν σὺν δορί, ἤτοι πολέμωι καὶ μάχηι, πράκτορι δίκης, ἤγουν εἰσπραξομένωι δίκην καὶ τιμωρίαν, ὁ θούριος καὶ ὁρμητικὸς ὄρνις, ἤτοι ὁ ἀετὸς ὁ βασιλεὺς τῶν οἰωνῶν, τουτέστι τὰ ἐνόδια σύμβολα ταῦτα* 30 *ἔπεμψαν αὐτοὺς πρὸς τὴν Τροίαν. τὰ ἑξῆς δὲ δέον συνδεδεμένως εἰπεῖν, ὁ δὲ ἀσυνδέτως ἐπήνεγκεν. ὁ γὰρ κελαινὸς καὶ μέλας ἀετὸς καὶ ὁ ἐξόπιν ἀργίας, ἤγουν ὁ πύγαργος, φανέντες τοῖς βασιλεῦσι τῶν νεῶν ἴκταρ καὶ ἐγγὺς τῶν μελάθρων αὐτῶν ἐν ταῖς παμπρέπτεσι καὶ εὐπρεπέσιν ἕδραις λέγω ἐκ τῆς δορυπάλτου χειρός, ἤτοι τῆς δεξιᾶς,*

11 cf. sch. uet. 104ab || 15—18 cf. sch. uet. 105—107

6 *δακτιλικὰ* T

ἐφέρβοντο καὶ ἤσθιον γένναν λαγίναν, ἤτοι λαγωῶν, ἐρικύμονα καὶ ἄγαν ἐγκυμονοῦσαν καὶ τίκτουσαν βοσκομένην, βλαβέντα τῶν λοισθίων δρόμων, ἤτοι βλάβην σχόντα ἐκ τῶν τελευταίων αὐτοῦ δρόμων. τὸ βλαβέντα δὲ πρὸς τὸ σημαινόμενον εἴρηται· λαγίναν γὰρ γένναν ἤγουν λαγωόν. 5

105e. θεόθεν] παρὰ θεῶν.
105f. καταπνεύει] διὰ τὸ μέτρον.
106. αἰών] ἤγουν τὸ γῆρας.
108a. δίθρονον κράτος] ἤγουν τοὺς δύο βασιλεῖς, τοὺς Ἀτρείδας.
108b. ἥβαν] καὶ τὴν τῶν Ἑλλήνων νεότητα καὶ ἀκμαίαν ἡλικίαν. 10
110. ξύμφρονα ταγάν] τὴν ὁμόφρονα τάξιν.
111a. ξὺν δορὶ] σὺν πολέμωι.
111b. δίκας] τιμωρίας.
111c. πράκτορι] ἀπαιτητῆι, ἤγουν δίκην εἰσπραξομένωι.
112a. θούριος] ὁ ὁρμητικός. 15
112b. ὄρνις] ὁ ἀετός.
112c. Τευκρίδα] τὴν Τρωϊκὴν ἀπό τινος ἄρχοντος Τεύκρου.
112d. αἶαν] γῆν.
113. οἰωνῶν] τῶν ὀρνέων ἀπὸ μέρους.
114a. βασιλεῦσι] τοῖς. 20
114b. κελαινὸς] ὁ μέλας.
115. ὅ τ' ἐξόπιν] ὁ ἐκ τοῦ ὄπισθεν λευκός, ἤτοι ὁ πύγαργος.
116a. ἴκταρ] ἐγγύς.
116b. μελάθρων] τῶν οἴκων.
116c. χερὸς] ἤτοι τῆς δεξιᾶς, δι' ἧς πάλλουσι τὸ δόρυ. 25
117a. παμπρέπτεσιν] εὐπρεπέσιν. ἡ εὐθεῖα ἡ παμπρέπτις.
117b. ἕδραις] καθέδραις.
118. λαγίναν] ἤτοι λαγωῶν γενεάν.
119a. ἐρικύμονα] ἄγαν ἐγκυμονοῦσαν· ἄλλα γὰρ γεννᾶι καὶ ἄλλα ἐν γαστρὶ φέρει. 30
119b. φέρβοντο] ἤσθιον.
120a. βλαβέντα] βλάβην σχόντα.
120b. λοισθίων] ἐκ τῶν τελευταίων. ἐκεῖνος γὰρ ἦν ὁ τελευταῖος αὐτοῦ δρόμος ἐξ οὗ ἐσφάλη.
121a. ἐφύμνιον. 35

14 cf. sch. uet. 111 || 22 cf. sch. uet. 115a || 23 cf. sch. uet. 116

121b. *ἐπειδὴ ὁ αἴλινος καὶ ἐπὶ θρήνου λέγεται, φησὶν ὅτι ἐν τάξει ὕμνου αὐτὸν λέγε.*
122a. *ἀντιστροφὴ κώλων ιθ΄.*
122b. *κεδνὸς] ὁ συνετός.*
5 **122c.** *στρατόμαντις] ἤγουν ὁ Κάλχας.*
122d. *ἰδὼν] τὸ τέρας.*
123a. *λήμμασι] φρονήμασι.*
123b. *δισσοὺς] τοὺς δύο.*
123c. *Ἀτρείδας] ἤγουν εἰκόνισεν εἶναι τοὺς ἀετοὺς τοὺς δύο Ἀτρείδας.*
10 **124a.** *ἐδάη] ἔμαθεν, ἔγνω.*
124b. *λαγοδαίτας] τοὺς τὸν λαγωὸν εὐωχηθέντας.*
124c. *ἀρχοὺς] ἄρχοντας, προπέμποντας τὸν στρατόν.*
125. *τεράιζων] τὸ τέρας ἑρμηνεύων.*
126a. *χρόνωι] ἐν.*
15 **126b.** *χρόνωι] ἤγουν διὰ χρόνου.*
126c. *ἀγρεῖ] ἀγρεύσει, πορθήσει.*
126d. *πόλιν] ἤτοι τὴν Τροίαν.*
126e. *ἅδε κέλευθος] αὕτη ἡ ὁδός, ἤγουν ἡ τοῦ στόλου κίνησις.*
127. *πύργων] ἤτοι τῆς πόλεως.*
20 **129a.** *κτήνη] τά.*
129b. *κτήνη] ἤτοι τὰ θρέμματα.*
129c. *πρόσθε] πρότερον τῆς πόλεως.*
129d. *δημιοπληθῆ] τὰ δημόσια.*
130a. *ἀλαπάξει] διαφθερεῖ.*
25 **130b.** *τὸ βίαιον] ἤγουν βιαίως.*
131a. + *οἷον μή τις· μόνον μὴ ἄτη καὶ βλάβη τις ἐπισκοτίσειε τὸ στράτευμα, δηλονότι τὸ στρατωθὲν καὶ στρατεῦσαν ἐπὶ τὸ μέγα στόμιον τῆς Τροίας τὸ προτυφθέν, ἤγουν τὸ ἀπὸ Ἡρακλέως πρότερον πορθηθὲν καὶ τῶν Ἀμαζόνων.*
30 **131b.** *οἷον] μόνον.*
131c. *ἄτα] βλάβη.*
132a. *Ἀστείως ἔφη μέγα στόμιον προτυφθὲν διὰ τὰς ὑπὸ Ἡρακλέως πορθηθείσας πρότερον Τρωϊκὰς πύλας· ὥσπερ γὰρ κατὰ στόμα ἐτύπη καὶ τότε ἡ Τροία.*

1–2 cf. sch. uet. 121 || 5 cf. sch. uet. 122a || 9 cf. sch. uet. 123 || 13 cf. sch. uet. 125b || 23 cf. sch. uet. 129b || 31 cf. sch. uet. 131

2 *λέγε* van Heusde coll. sch. uet. 121 *λέγω* **T**

132b. *θεόθεν] ἐκ θεοῦ.*
132c. *κνεφάσειε] ἐπισκοτίσειε.*
132d. *προτυφθὲν] τό.*
132e. *προτυφθὲν] ἤγουν τὸ ὑπὸ Ἡρακλέως πορθηθέν.*
133a. *στόμιον] ἐπί.* 5
133b. *Τροίας] διὰ τὰς πορθηθείσας πρότερον πύλας αὐτῆς.*
134. *στρατωθέν] τὸ ἐπιστρατεῦσαν.*
135a. *ἡμέτερα + οἴκωι γὰρ ἐπίφθονος· ἡ Ἄρτεμις γὰρ ἡ καθαρὰ ἐπίφθονός ἐστι καὶ ὀργίλη τῶι οἴκωι τῶν ἀετῶν, τοῖς κυσὶ λέγω τοῦ πατρὸς αὐτοῦ Διὸς τοῖς πτηνοῖς καὶ ταχέσι, θυομένοις καὶ σφάζουσι* 10 *καὶ σιτουμένοις τὴν ἀθλίαν πτῶκα, ἤτοι τὸν λαγωόν, αὐτότοκον, ἤγουν σὺν αὐτοῖς τοῖς τόκοις αὐτοῦ, πρὸ τῆς λοχείας ἤτοι πρὸ τοῦ τεκεῖν. δέον δὲ εἰπεῖν τῶι οἴκωι τῶν πτηνῶν κυνῶν, πτηνοῖς κυσὶν εἶπε πρὸς τὸ οἴκωι.*
135b. *ἐπίφθονος] ὀργίλη ἐστίν.* 15
135c. *Ἄρτεμις] ἡ.*
135d. *Ἄρτεμις] ὡς ἔφορος τῶν τόκων.*
135e. *ἁγνὰ] ἡ καθαρά, ἡ παρθένος.*
136a. *πτανοῖς] ταχέσι λέγω.*
136b. *κυσὶ] ἤτοι τοῖς ἀετοῖς.* 20
136c. *πατρὸς] τοῦ Διός.*
137a. *αὐτότοκον] ἤτοι σὺν τοῖς αὐτοῦ τόκοις ἤγουν τοῖς τέκνοις.*
137b. *πρὸ λόχου] πρὸ τοῦ τεκεῖν. ἐγκύμων γὰρ ἦν.*
137c. *μογερὰν] ἀθλίαν.*
137d. *πτῶκα] ἤτοι τὸν λαγωόν.* 25
137e. *θυομένοισιν] σιτουμένοις.*
138a. *στυγεῖ] μισεῖ.*
138b. *δὲ] γάρ.*
138c. *δεῖπνον αἰετῶν] διότι δεῖπνον ἐποιήσαντο τὸν λαγωόν.*
140a. *ἐπωιδὸς κώλων κδ΄.* 30
140b. *+ τόσον περ εὔφρων· μέσον τῶν κατὰ σχέσιν στροφῶν καὶ ἐπωιδὸν τέθεικεν. εἰσὶν οὖν τῆς ἐπωιδοῦ ταύτης τὰ κῶλα κδ΄, ὧν τὰ μέν ἐστιν ἰαμβικά, τὰ δὲ δακτυλικά, τὰ δὲ ἀναπαιστικά. ἐπὶ τῶι τέλει κορωνὶς καὶ παράγραφος.*
140c. *τόσον] ἐστίν.* 35

25 cf. sch. uet. 138
8 *ἡμέτερα*] sch. 135a. 140b. 145a

140d. *εὔφρων] κατ᾽ εἰρωνείαν.*
140e. *ἁ καλὰ] Ἄρτεμις.*
141a. *δρόσοις] ἤτοι τοῖς νεογνοῖς.*
141b. *ἀέπτοισι] τοῖς μὴ δυναμένοις πτῆναι.*
5 **141c.** *μαλερῶν] τῶν φθαρτικῶν πετεινῶν.*
142a. *τ᾽] καί.*
142b. *ἀγρονόμων] ἤτοι τῶν ἐν ἀγροῖς διαιτωμένων.*
142c. *φιλομάστοις] τοῖς τὸν μαστὸν φιλοῦσιν.*
143a. *Ὀβρίκαλα κυρίως οἱ λεοντιδεῖς καὶ ὅσα τοιαῦτα, παρὰ τὸ ὄβριμα*
10 *εἶναι καὶ ἰσχυρὰ ἐκ βρέφους.*
143b. *ὀβρικάλοις] ἤτοι τοῖς τέκνοις.*
143c. *τερπνὰ] ἡ καλλίστη Ἄρτεμις.*
143d. *τερπνὰ] ἡ.*
144a. *αἰτεῖ] με.*
15 **144b.** *ξύμβολα] τὰ σημεῖα.*
144c. *κρᾶναι] τελέσαι, ἀντὶ τοῦ φάναι τελεσθῆναι.*
145a. + *τούτων τῶν στρουθῶν τὰ φάσματα αἰτεῖ με κρᾶναι καὶ εἰπεῖν καὶ ἀποφήνασθαι τὰ σύμβολα καὶ τὰ σημεῖα δεξιὰ μέν, κατάμομφα δέ, ἤτοι δεξιὰ μὲν διὰ τὴν νίκην, ἐπίμομφα δὲ διὰ τὸν χόλον Ἀρτέμιδος.*
20 *δέον δὲ εἰπεῖν φάναι, ἐπειδὴ ἃ λέγουσιν οἱ μάντεις καὶ τέλος λαμβάνουσιν, εἰκότως κρᾶναι εἶπεν. ἔδει δὲ οὕτως εἰπεῖν ὡς χρὴ δέ με εἰπεῖν τὰ σύμβολα τῶν φασμάτων τῶν στρουθῶν δεξιὰ καὶ τὰ ἑξῆς, ὁ δὲ ἔμψυχα οἷον δεικνὺς τὰ φάσματα, αἰτεῖ με, φησί, τὰ φάσματα, τὴν αἴτησιν ἐκ τῶν φασμάτων γίνεσθαι χαριέστατα προβαλλόμενος.*
25 **145b.** *δεξιὰ] διὰ τὴν νίκην.*
145c. *κατάμομφα] διὰ τὸν χόλον Ἀρτέμιδος.*
145d. *φάσματα] προμαντεύματα.*
145e. *τῶν στρουθῶν] τῶν ἀετῶν.*
146a. *ὁ μάντις τοῦτό φησιν.*
30 **146b.** *ἰήιον] ἐπίθετον Ἀπόλλωνος.*
146c. *καλέω] ἐπικαλοῦμαι.*
146d. *καλέω] συνίζησις.*

3 cf. sch. uet. 141 || **7** Hesych. *ἀγρονόμων* || **9—10** Phot. *ὄβρια* Eust. 381, 17. 1625, 47 Aelian. hist. anim. VII 47 cf. sch. uet. 143 || **17—19** cf. sch. uet. 144 || **28** cf. sch. uet. 145

7 *διαιτομένων* **T**

146e. *Παιᾶνα*] *τὸν Ἀπόλλωνα.*
147a. *μή*] *ἵνα.*
147b. *ἀντιπνόους*] *ἐξ ἐναντίας πνεούσας πνοάς.*
148a. *Δαναοῖς*] *τοῖς Ἕλλησιν.*
148b. *ἐχενηίδας*] *ἐχούσας καὶ κωλυούσας τὰς ναῦς.* 5
150a. *ἀπλοΐδας*] *μὴ ἐώσας πλεῖν.*
150b. *τεύξηι*] *ποιήσηι ἡ Ἄρτεμις.*
151a. *σπευδομένα*] *μετ' ἐπιτάσεως ζητοῦσα.*
151b. *θυσίαν*] *τὴν τῆς Ἰφιγενείας.*
152a. *ἑτέραν*] *ἀντὶ τοῦ λαγωοῦ.* 10
152b. *ἄνομον*] *παράνομον.*
152c. *ἄδαιτον*] *ἣν οὐδεὶς ἔδαισεν, ἤγουν ἔθυσεν ἢ ἔσφαγεν.*
153a. *νεικέων*] *φιλονεικῶν.*
153b. *νεικέων*] *συνίζησις.*
153c. *τέκτονα*] *ποιητικὴν διὰ τὸν φόνον ὃν ἐποίησε Κλυταιμνήστρα.* 15
153d. *σύμφυτον*] *συγγενικήν.*
154a. *ἡμέτερα + δέον μετὰ τοῦ δὲ εἰπεῖν μίμνει δέ, ὁ δὲ ἀσυνδέτως ἐξήνεγκεν εἰπὼν μ ί μ ν ε ι ἐπὶ τὴν οὐ δεισήνορα καὶ τὴν οὐ φοβηθεῖσαν τὸν ἄνδρα αὐτῆς, ἀλλ' ἀνηλεῶς φονεύσασαν Κλυταιμνήστραν μῆνις καὶ μνησικακία μνήμων, φοβερὰ καὶ ξένη, ὡς μὴ ὑπ' ἄλλης τολμηθεῖσα,* 20 *παλίνορτος καὶ ὕστερον ὁρμωμένη, οἰκονομοῦσα καὶ κατασκευάζουσα δολίως τὸν τοῦ ἀνδρὸς θάνατον τεκνόποινος, ἤτοι ποινὴν καὶ τιμωρίαν εἰσπράττουσα τοῦ τέκνου αὐτῆς, τουτέστι τῆς Ἰφιγενείας.*
154b. *οὐ δεισήνορα*] *ἐπὶ τὴν οὐ φοβηθεῖσαν τὸν ἄνδρα αὐτῆς Κλυταιμνήστραν.* 25
154c. *μίμνει*] *μένει.*
154d. *φοβερὰ*] *ξένη, μήπω τολμηθεῖσα.*
154e. *παλίνορτος*] *ὕστερον ὁρμωμένη.*
155a. *δολία*] *κατασκευάζουσα δολίως τὸν τοῦ ἀνδρὸς θάνατον.*
155b. *μνάμων*] *μνημονευτική.* 30
155c. *μῆνις*] *ἤγουν μνησικακία.*
155d. *τεκνόποινος*] *ἤγουν δίκην εἰσπράττουσα τοῦ τέκνου.*
156a. *Κάλχας*] *ὁ.*
156b. *μεγάλοις*] *διὰ τὴν νίκην.*

12 cf. sch. uet. 152a || 16 cf. sch. uet. 152c || 28 cf. sch. uet. 154b || 34 cf. sch. uet. 156

17 *ἡμέτερα*] sch. 154a. 160b. 163a || 23 *εἰρπράττουσα* T

156c. *ἀπέκλαγξεν*] *ἤγουν εἶπεν, ἀπὸ μεταφορᾶς τῶν ἀετῶν.*
157. *μόρσιμ'*] *πεπρωμένα.*
158a. *ὁδίων*] *τῶν ἐπὶ τῆι ὁδῶι φανέντων.*
158b. *βασιλείοις*] *βασιλικοῖς.*
5 **159a.** *τοῖσδ' ὁμόφωνον*] *ὡς ὄντες ἐν Ἄργει τοῦτό φασιν.*
159b. *ὁμόφωνον*] *ἤγουν ὁμοφώνως τοῖς φάσμασιν.*
160a. *στροφὴ ἑτέρα κώλων η'.*
160b. + *Ζεὺς ὅστις ποτ' ἐστίν· αἱ ἑξῆς αὗται πᾶσαι στροφαὶ κατὰ σχέσιν εἰσί, μόνον οὐ μὴν ἔχουσι καὶ ἐπωιδούς. καί εἰσι τῆς*
10 *πρώτης ταυτησὶ στροφῆς τὰ κῶλα η' καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα, τῆς δευτέρας ὁμοίως η', τῆς τρίτης ιβ', τῆς τετάρτης ι' καὶ τῆς πέμπτης ια'. ὁμοίως καὶ τὰ τῶν ἀντιστροφῶν, ἃ καὶ μετρήσεις τοῖς προτέροις ἑπόμενος· εὔγνωστα γὰρ ἂν εἴη σοι καὶ ταῦτα, ἀκριβῶς ἐκείνων ἐσχηκότι τὴν γνῶσιν. ἐπὶ τῶι τέλει ἑκάστης στροφῆς καὶ ἀντιστροφῆς*
15 *παράγραφος, ἐπὶ δὲ τῶι τέλει πασῶν κορωνὶς ἐξιόντος τοῦ χοροῦ.*
160c. *ὅστις*] *διάφορος γὰρ ἡ περὶ τοῦ θείου δόξα.*
160d. *τόδ'*] *τὸ Ζεύς.*
161a. *φίλον*] *προσφιλές.*
161b. *κεκλημένωι*] *ἐπικαλουμένωι ἢ ὀνομαζομένωι.*
20 **162a.** *νιν*] *αὐτόν.*
162b. *προσεννέπω*] *προσλαλῶ, ὀνομάζω.*
163a. + *ἐγώ, φησί, πάντα ἐρευνῶν καὶ πάντ' ἐξετάζων ὡς ἐν σταθμῶι τινι, οὐκ ἔχω προσεικάσαι καὶ ὅμοιόν τι εὑρεῖν τοῦ Διός, εἰ χρὴ ἀληθῶς ἀποβαλεῖν ἀπὸ τῆς φροντίδος καὶ τοῦ λογισμοῦ μάταιον ἄλλο*
25 *ἄχθος· τὸ γὰρ περί τινων ἄλλων διαλογίζεσθαι μάταιόν ἐστιν ὄντως ἄχθος. ἡ δέ γε περὶ θεοῦ ἔννοια καὶ τὸ διὰ μνήμης ἐκεῖνον ἔχειν ἀεὶ οὐ μόνον ἄχθους παντός ἐστιν ἀπηλλαγμένον, ἀλλὰ καὶ χαρᾶς ἀφάτου τὴν καρδίαν πληροῖ, ὡς καὶ Εὐριπίδης φησίν· ἦ μέγα μοι τὰ θεῶν μελεδήμαθ' ὅταν φρένας ἔλθηι λύπας παραιρεῖ. τοῦτο δὲ*
30 *ὅμοιόν ἐστι τῶι ἐμνήσθην τοῦ θεοῦ καὶ εὐφράνθην. ταῦτα δὲ ἄγαν ἐστὶν εὐσεβῆ.*
163b. *προσεικάσαι*] *προσόμοιόν τι εὑρεῖν.*
163c. *ἐπισταθμώμενος*] *ἐρευνῶν, ζυγοστατῶν.*
164. *πλὴν Διός*] *πάντα γὰρ μάταια, τοῦτο δὲ μόνον ἀληθές.*

16 cf. sch. uet. 160

28—29 Eur. Hipp. 1102 || **30** Ps. 16, 9

165a. *ἀπὸ φροντίδος*] ἀποβαλεῖν, ἀποσείσασθαι τοῦ λογισμοῦ.
165b. *ἄχθος*] μάταιον βάρος.
166a. *χρὴ*] πρέπει.
166b. *ἐτητύμως*] ἀληθῶς καὶ μὴ ἐπιπλάστως.
168a. ἀντιστροφὴ κώλων η'. 5
168b. *ὅστις*] ὁ Κρόνος.
168c. *πάροιθεν*] πρότερον.
169a. *παμμάχωι*] πᾶσι δυναμένωι μάχεσθαι.
169b. *θράσει*] τόλμηι, δυνάμει.
169c. *βρύων*] θάλλων, ἦν κρείττων αὐτοῦ δηλονότι. 10
170. *λέξαι*] ἤγουν εἰ χρὴ εἰπεῖν.
171a. *ὅς*] ἴσως τὸν Τυφῶνα λέγει.
171b. *ὅς*] ἢ τοὺς Τιτᾶνας λέγει.
171c. *ἔφυ*] ἐγένετο.
171d. Τριακτῆρος· νικητῆρος ἀπὸ μεταφορᾶς τῶν ἐν τοῖς πεντ- 15
άθλοις ἀποτριαδιζόντων.
171e. *τριακτῆρος*] ἤγουν νίκης.
173a. *οἴχεται*] ἐφθάρη.
173b. *τυχών*] οὐ τυχών. λάμβανε γὰρ τὸ οὐ ἀπὸ τοῦ οὐδ' ὅστις.
174a. *προφρόνως*] προνοητικῶς. 20
174b. *ἐπινίκια*] ἐπὶ ἐλπίδι νίκης δηλονότι.
174c. *κλάζων*] ἐπικαλούμενος.
175a. *τεύξεται*] ἐπιτύχοι.
175b. *φρενῶν*] ἤγουν καθόλου φρόνιμος ἔσται.
176a. στροφὴ ἑτέρα κώλων η'. 25
176b. *ὁδώσαντα*] ὁδοὺς δόντα, ὁδοποιήσαντα.
176c. *τῶι πάθει μάθος*] τὸν ἐκ τοῦ παθεῖν τὸ μαθεῖν θέμενον.
176d. Δύσχρηστος μὲν ἡ λέξις, ἀλλ' Ἀττική. ὡς γὰρ τὸ ῥέος καὶ τὸ
βλέπος οὕτω καὶ τὸ μάθος καὶ ἔτι τὸ δίψος καὶ τὸ βλάβος καὶ τὸ
κλέπος. 30
179a. *ἔν θ'*] ἔν τε.
179b. *πρὸ*] ἐπί.
180a. *μνησιπήμων*] ἤγουν οἱ ἁμαρτήσαντες καὶ ἐν ὕπνοις πημονὰς καὶ
πόνους φαντάζονται.

15—16 cf. sch. uet. 171b || **21** cf. sch. uet. 174 || **24** cf. sch. uet. 175 || **28—30** Ar. Byz. (?) ap. Phot. *μάθος* cf. sim. ann. sch. uet. A. Prom. 400 de Suda *πλέκος*

180b. ἄκοντας] ἤγουν παθόντες ἄκοντες ἐσωφρόνησαν.
181. σωφρονεῖν] τό.
182a. δαιμόνων] τῶν θεῶν.
182b. που] ἴσως.
5 **182c.** χάρις] ἡ.
182d. βιαίως] κραταιῶς ἤγουν τῶν τὸ κράτος ἐχόντων.
183a. σέλμα] καθέδραν σεμνὴν ἤτοι τὸν οὐρανόν.
183b. ἡμένων] καθημένων.
184a. ἀντιστροφὴ κώλων η'.
10 **184b.** τόθ'] τότε.
184c. ἡγεμὼν] ὁ ἄρχων. ὁ Ἀγαμέμνων ὁ τοῦ Μενελάου πρεσβύτερος.
185. Ἀχαϊκῶν] Ἑλληνικῶν.
187a. ἐμπαίοις] ταῖς συμπεσούσαις καὶ συγκρουσάσαις.
187b. συμπνέει] συμφωνεῖ καὶ οὐκ ἀνθίσταται ταύταις.
15 **188a.** εὖτ'] ὁπηνίκα ἀσυνδέτως.
188b. κεναγγεῖ] κενοῖ τὰ ἀγγεῖα, ἤτοι κατεσθίει τὰ βαρύνοντα.
189a. βαρύνοντ'] τά.
189b. βαρύνοντ'] ἤτοι πᾶν ὅπερ εἶχε βάρος.
189c. λεώς] ὁ.
20 **190a.** Χαλκίδος] τῆς Εὐρίπου ἀπὸ μέρους.
190b. ἔχων] οἰκῶν ὁ λαός.
190c. παλιρρόθοις] τοῖς ὧδε κἀκεῖσε τὸ ῥεῦμα πέμπουσιν.
190d. Π α λ ι ρ ρ ό θ ο ι ς τ ό π ο ι ς· διὰ τὸ τὴν θάλασσαν ὧδε κἀκεῖσε περιπολεῖν. Αὐλίδα δὲ ὀνομάζει τὴν Εὔριπον διὰ τὸ αὐλισθῆναι τὰς ναῦς
25 ἐκεῖ.
191a. ἐν Αὐλίδος] λέγω.
191b. Αὐλίδος] τῆς Εὐρίπου.
192a. στροφὴ ἑτέρα κώλων ιβ'
192b. μολοῦσαι] ἐρχόμεναι.
30 **193a.** κακόσχολοι] ἐπὶ κακῶι τὴν σχολὴν ποιοῦσαι.
193b. νήστιδες] ἀεὶ κινούμεναι.
193c. δύσορμοι] μὴ ἐῶσαι ὁρμισθῆναι.
194a. ἄλαι] πλάναι.
194b. ναῶν] τῶν.
35 **194c.** ναῶν] ὥστε μὴ σῆψις αὐταῖς ἐκ τῆς στάσεως γένηται.

24—25 sch. D Hom. *B* 303 sch. b Hom. *B* 496 Eust. 265, 8 Et. Gen. *Αὐλίς* E. M. 170, 18 || **30** cf. sch. uet. 193

195a. *Ταῦτα ἐκ τῶν Ὁμηρικῶν μεταπέπλασται· καὶ δὴ ἄγρην ἐφέπεσκον ἀλητεύοντες· καὶ πάλιν· καὶ δὴ δοῦρα σέσηπε νεῶν.*
195b. *πεισμάτων] τῶν σχοινίων.*
195c. *ἀφειδεῖς] ἤγουν μὴ φειδῶ ποιούμεναι.* 5
196. *παλιμμήκη] ἐκ δευτέρου μηκυνόμενον. δύο γάρ, ὡς ἔοικε, χρόνους ἐκεῖ διέτριβον.*
197a. *τρίβωι] τῆι διατριβῆι.*
197b. *κατέξαινον] κατέφθειρον.*
197c. *ἄνθος] πᾶν τὸ ἐξαίρετον καὶ ἔκκριτον.* 10
199a. *χείματος] χειμῶνος, συμφορᾶς.*
199b. *μῆχαρ] μηχάνημα.*
200a. *βριθύτερον] βαρύτερον, ἐπαχθέστερον.*
200b. *πρόμοισιν] τοῖς προμάχοις, τοῖς βασιλεῦσιν.*
201a. *μάντις] ὁ.* 15
201b. *ἔκλαγξε] εἶπεν.*
201c. *Προφέρων Ἄρτεμιν ἤτοι λέγων τὴν Ἄρτεμιν ὅτι θυσίαν ζητεῖ.*
202a. *ἡμέτερα* + *εἰώθασιν οἱ συμφοράν τινα μεγίστην καὶ ἀπροσδόκητον ἐξαίφνης ἀκούσαντες ἐκ τῆς ὑπερβαλλούσης λύπης πᾶν τὸ* 20 *παρατυχὸν ἐν ταῖς χερσὶ βιαίως ῥίπτειν ἐπὶ τὴν γῆν καὶ τύπτειν αὐτήν. ἐπεὶ δ' οἱ βασιλεῖς σκῆπτρα ἐν ταῖς χερσὶ κατέχουσι, διὰ τοῦτο βάκτροις ἐνταῦθα εἶπε, τουτέστι βακτηρίαις.*
202b. *χθόνα] τὴν γῆν.*
202c. *βάκτροις] τῆι βακτηρίαι.* 25
203. *ἐπικρούσαντας] τύψαντας διὰ τὴν ὑπερβάλλουσαν λύπην.*
204. *μὴ κατασχεῖν] ἀλλὰ λίαν θρηνεῖν.*
205a. *ἀντιστροφὴ κώλων ιβ'.*
205b. *ἄναξ δ'] περισσὸς ὁ δὲ Ἀττικῶς.*
205c. *ὁ πρέσβυς] ὁ Ἀγαμέμνων.* 30
205d. + *ἄναξ δ' ὁ πρέσβυς· ἡ ἀπόδοσις τοῦ ἐπεὶ δὲ ἐνταῦθά ἐστιν. οὕτως· ἐπεὶ δὲ ὁ μάντις εἶπε τὸ καὶ τό, ὁ ἄναξ δὲ ὁ πρέσβυς εἶπε τόδε. περισσὸς δέ ἐστιν ὁ δὲ σύνδεσμος Ἀττικῶς.*
205e. *φωνῶν] λέγων.*

1—3 cf. sch. uet. 194. 195 || 8 cf. sch. uet. 197 || 13 cf. sch. uet. 200 || 31—33 cf. sch. uet. 205

1—2 Hom. *μ* 330 || 2—3 Hom. *B* 135 || 19 *ἡμέτερα*] sch. 202a. 205d

206 a. *κὴρ*] *μοῖρα.*
206 b. *πείθεσθαι*] *τοῖς θεοῖς δηλονότι.*
207. *βαρεῖα*] *πλείων οἶκτός μοι, φησί, διὰ τὸ τέκνον.*
208 a. *δαΐξω*] *συνίζησις.*
5 **208 b.** *δαΐξω*] *φονεύσω.*
208 c. *δόμων*] *τῶν.*
208 d. *ἄγαλμα*] *τὴν εὐπρέπειαν.*
209 a. *μιαίνων*] *μολύνων.*
209 b. *παρθενοσφάγοισι*] *παρθενικοῖς.*
10 **209 c.** *ῥείθροις*] *αἵματι.*
210 a. *πατρώους*] *πατρικάς.*
210 b. *πέλας*] *πλησίον.*
211. *τί*] *ἤγουν τί χεῖρον τῶνδε;*
212. *λιπόναυς*] *ἤγουν πῶς καταλείψω τὰς ναῦς;*
15 **213 a.** *ξυμμαχίας*] *τῆς.*
213 b. *ξυμμαχίας*] *τούτων.*
213 c. *ἁμαρτών*] *ἀποτυχών.*
215 a. *παρθενίου*] *παρθενικοῦ.*
215 b. *αὐδᾶι*] *λέγει ὁ μάντις.*
20 **216 a.** *περιόργως*] *ἐπιθυμητικῶς.*
216 b. *ἐπιθυμεῖν*] *τὴν Ἄρτεμιν.*
217 a. *θέμις*] *ἤγουν δικαίως δὲ καὶ καλῶς ἀποβαίη.*
217 b. *γὰρ*] *δέ.*
218 a. *στροφὴ ἑτέρα κώλων ι΄.*
25 **218 b.** *ἡμέτερα + ἐπεὶ δὲ ὑπέδυ τὸν ζυγὸν τῆς ἀνάγκης — τοῦτο γὰρ δηλοῦν βούλεται τὸ λέπαδνον — ἐξέπνευσε δὲ καὶ ἀπέρριψε καὶ ἀπεβάλλετο τὴν δυσσεβῆ τροπὴν τῆς φρενὸς τὴν ἄναγνον καὶ ἀνίερον — ἐκτροπὴ γάρ ἐστι νοῦ καὶ δυσσέβεια ἀκάθαρτος καὶ παράνομος μὴ πείθεσθαι τοῖς θεοῖς — ἔγνω τόθεν καὶ ἐκεῖθεν εἶναι τοῖς ἀνθρώποις* 30 *τὸ φρονεῖν τὸ παντότολμον, ἤγουν ἐκ τῆς ἀνάγκης εἶναι τὸ τὰ πάντα τολμᾶν. θρασύνει γὰρ αὐτοὺς τάλαινα παρακοπὴ καὶ παρατροπὴ τοῦ νοῦ αἰσχρὰ καὶ κακὰ καὶ ἄθεσμα βουλευομένη, ἥτις ἐστὶ πρωτοπήμων, ἤγουν μείζων τῶν ἄλλων πημάτων καὶ πρώτη· τῆς γὰρ παραφροσύνης καὶ ἐκτροπῆς τοῦ νοῦ οὐδέν ἐστι χεῖρον νόσημα.*
35 **218 c.** *ἔδυ*] *ὑπέδυ.*

3 cf. sch. uet. 208 || **20** cf. sch. uet. 216

25 *ἡμέτερα*] sch. 218 b. 229 a

218d. *Λέπαδνα οἱ ἐκ δερμάτων μασχαλιστῆρες τῶν ἵππων, παρὰ τὸ λέπω τὸ λεπίζω καὶ ἐκδέρω. οἱ δὲ τοὺς τῶν ζυγῶν φασι λώρους. ἀπὸ μέρους δὲ τὸν ὅλον ζυγὸν λέγει.*
218e. *ἔδυ λέπαδνον] ἤτοι τὸν ζυγὸν ὁ Ἀγαμέμνων.*
219a. *πνέων] ἐκπνέων.* 5
219b. *τροπαίαν] τροπήν, μεταβολήν, ὡς σελήνη σεληναία.*
220a. *ἄναγνον] ἀκάθαρτον.*
220b. *ἀνίερον] παράνομον.*
220c. *τόθεν] ἤγουν ἀπὸ τῆς ἀνάγκης.*
221a. *παντότολμον] ἤγουν τὸ τὰ πάντα τολμᾶν.* 10
221b. *φρονεῖν] τό.*
221c. *φρονεῖν] λογίζεσθαι.*
221d. *μετέγνω] ἤγουν ἔγνω, κατενόησεν εἶναι τοῖς ἀνθρώποις.*
222a. *γνώ(μη).*
222b. *θρασύνει] θρασεῖς ποιεῖ.* 15
222c. *αἰσχρόμητις] αἰσχρὰ βουλευομένη.*
223a. *τάλαινα] ἀθλία.*
223b. *παρακοπὰ] παρατροπὴ τοῦ νοῦ.*
223c. *πρωτοπήμων] ἡ μείζων τῶν ἄλλων πημάτων.*
224a. *ἔτλα] ὑπέμεινεν.* 20
224b. *θυτὴρ] σφαγεύς.*
226a. *γυναικοποίνων] τῶν εἰσπραξομένων ποινὰς ὑπὲρ τῆς Ἑλένης.*
226b. *ἀρωγὰν] βοήθειαν.*
227. *προτέλεια] προθύματα ἀπὸ τῶν θυμάτων τῶν ἐν τελέταις γινομένων.* 25
228a. *ἀντιστροφὴ κώλων ι'.*
228b. *λιτὰς] ἱκεσίας.*
228c. *κληδόνας] φήμας τινὰς ἴσως προμηνυούσας μέλλον τι ὑπ' ἀνάγκης.*
229a. *+ τὴν παρὰ εἰς τὸ αἰῶνα παρθένειον σύναπτε ἵν' εἴη ὁ* 30 *λόγος σαφής. οὕτω· τὰς λιτὰς δὲ καὶ τὰς ἱκεσίας τὰς πατρῴους καὶ πατρικὰς καὶ τὰς κληδόνας τὰς παρὰ τὸν αἰῶνα τὸν παρθένειον, ἤγουν ἃς ἐποιεῖτο διὰ τὴν ζωὴν τῆς παρθένου, οὐδὲν ἔθεντο καὶ εἰς οὐδὲν ˒λογίσαντο οἱ φιλόμαχοι βραβεῖς, ἤγουν οἱ ἀγωνοθέται καὶ οἰκονόμοι*

1 sch. A A. Pers. 189 || 1—2 sch. AbT Hom. *E* 730 cf. Erbse ad loc. || 6 cf. sch. uet. 219 || 9 cf. sch. uet. 220—221 || 19 cf. sch. uet. 223

33 *καὶ*] *ἤγουν* van Heusde

τῆς θυσίας· φιλόμαχοι γὰρ ὄντες ἔσπευδον τάχιον πρὸς τοὺς ἐχθροὺς ἀφικέσθαι.

229b. *οὐδὲν] εἰς οὐδέν.*

229c. *αἰῶνα παρθένειον] ἤγουν τὰς διὰ τὴν ζωὴν τῆς παρθένου.*

5 **230a.** *φιλόμαχοι] οἱ.*

230b. *βραβεῖς] οἱ οἰκονόμοι τῆς θυσίας.*

231a. *ἡμέτερον + ὁ πατὴρ δὲ Ἀγαμέμνων μετὰ τὴν εὐχὴν ἤγουν μετὰ τὸ εὔξασθαι ἔφρασε καὶ εἶπε τοῖς παρεστῶσιν ἐν ὄσσοις, τουτέστιν ἔνευσεν αὐτοῖς ἐν τοῖς ὀφθαλμοῖς, δίκην καὶ τρόπον χιμαίρας* 10 *βαλεῖν καὶ ἐπιθεῖναι αὐτὴν ὑπεράνω τοῦ βωμοῦ ἀέρδην, ἤτοι βαστακτικῶς, παντὶ θυμῶι, ἤγουν ὅληι ὁρμῆι, λαβόντας δηλονότι περιπετῆ καὶ περιπεπτωκυῖαν ἐν πέπλοις, τουτέστιν ἐπάνω πέπλων, ἐπιθέντας αὐτὴν προνωπῆ καὶ πρὸ τῶν ὀφθαλμῶν πάντων, ἤγουν ἐνώπιον πάντων, καὶ κατασχεῖν τὴν φυλακὴν τοῦ στόματος αὐτῆς τοῦ καλλιπρώιρου,* 15 *ἤτοι κρατῆσαι καὶ φυλάξασθαι τὸ εὐπρόσωπον στόμα αὐτῆς, ὥστε μὴ κατάραν τινὰ φθέγξασθαι κατὰ τῶν οἴκων τοῦ πατρὸς αὐτῆς.*

231b. *φράσεν] εἶπε τοῖς παρεστῶσιν.*

231c. *ἐν ὄσσοις] ἤγουν διὰ νεύματος τῶν ὀφθαλμῶν.*

231d. *πατὴρ] ὁ.*

20 **231e.** *μετ' εὐχὰν] μετὰ τὸ εὔξασθαι.*

232a. *δίκαν] τρόπον.*

232b. *χιμαίρας] ζώιου.*

232c. *ὕπερθε] ὑπεράνω.*

232d. *βωμοῦ] τοῦ.*

25 **232e.** *βωμοῦ] ἐνταῦθα τὸ βαλεῖν.*

233a. *πέπλοισι] ἐν.*

233b. *περιπετῆ] περιπεπτωκυῖαν ἢ κεκαλυμμένην.*

233c. *παντὶ θυμῶι] ὅληι ὁρμῆι λαβόντας δηλονότι.*

234a. *προνωπῆ] ἐνώπιον, πάντων πρὸ ὀφθαλμῶν.*

30 **234b.** *βαλεῖν] ἐπιθεῖναι.*

234c. *ἀέρδην] βαστακτικῶς, ἀπὸ τοῦ ἀήρ.*

235a. *καλλιπρώιρου] καλλιπροσώπου, ἐκ μεταφορᾶς τῶν πλοίων.*

235b. *κατασχεῖν] κρατῆσαι.*

236a. *φθόγγον] λέγω.*

35 **236b.** *φθόγγον] ἤγουν ὥστε μὴ κατάραν τινὰ φθέγξασθαι κατὰ τῶν πατρικῶν αὐτῆς οἴκων.*

31 cf. sch. uet. 234b

238a. *στροφὴ ἑτέρα κώλων ια΄.*
238b. + *β ί α ι χ α λ ι ν ῶ ν δ έ· τῆι βίαι δὲ τῶν χαλινῶν, ἤτοι τῶν χειρῶν, αἵτινες τὸ στόμα αὐτῆς ἐχαλίνωσαν, ὥστε μὴ δύνασθαι φθέγξασθαι, ἐν ἀναύδωι μένει καὶ ἀφώνωι ὁρμῆι ῥίψασα εἰς τὴν γῆν τὰς τοῦ κρόκου βαφάς, τουτέστι τὰ κροκοβαφῆ πέπλα, ἔβαλλε καὶ ἐτίτρωσκεν ἕκαστον τῶν περιεστώτων θυτήρων, ἤγουν τῶν οἰκονόμων τοῦ θύματος, ἀπὸ τῶν αὐτῆς ὀμμάτων ἐν βέλει φιλοίκτωι, ἤτοι πάντας ἐκίνει κατοικτείρειν αὐτήν, κατακλῶσα αὐτῶν τὰς ψυχὰς καὶ πρέπουσα ὡς ἐν γραφαῖς καὶ θέλουσα προσεννέπειν, ἤγουν καὶ δίκην ἀγάλματος οὖσα διαπρεπὴς καὶ θέλουσα φθέγξασθαι καὶ μὴ δυναμένη. ἀσυνδέτως δὲ τὸ π ρ ο σ ε ν ν έ π ε ι ν θ έ λ ο υ σ α εἴρηκεν. τὰ ἑξῆς δὲ δῆλα, ὅτι πολλάκις ἔμελψεν ἐν τοῖς συμποσίοις κατὰ τοὺς οἴκους τοῦ πατρὸς αὐτῆς καὶ τιμίαν ἐποίει τὴν ζωὴν τοῦ πατρὸς αὐτῆς ἐν τῆι φωνῆι αὐτῆς τῆι παρθενικῆι ἄιδουσα ἐν τοῖς εὐπότοις σπονδαῖς καὶ εὐωχίαις, οὕτω γὰρ δέον εἰπεῖν, ὁ δὲ τὸν α ἰ ῶ ν α ἔ φ η τ ρ ι τ ό σ π ο ν δ ο ν καὶ εὔποτον ἤγουν ζηλωτὸν ἐποίει τὸν ἑαυτῆς πατέρα διὰ τῆς ὠιδῆς αὐτῆς. ἔθος δὲ ἦν, ὡς ἔοικεν, ἄιδειν τε καὶ ὀρχεῖσθαι τῶν βασιλέων τὰς θυγατέρας ἐν τοῖς συμποσίοις. δῆλον δέ ἐστι τοῦτο ἐντεῦθέν τε καὶ ἐκ τῆς ὀρχησαμένης Ἡρωδιάδος.*
238c. *βίαι] τῆι.*
238d. *βίαι] ἤτοι τῶν χειρῶν αἵτινες τὸ στόμα αὐτῆς ἐχαλίνωσαν.*
238e. *μένει] ἀφώνηι ὁρμῆι.*
239a. *κρόκου βαφὰς] τὰ κροκοβαφῆ πέπλα.*
239b. *ἐς πέδον] εἰς τὴν γῆν.*
239c. *χέουσα] ῥίψασα.*
240a. *ἔβαλλ᾽] ἐτίτρωσκεν.*
240b. *θυτήρων] τῶν οἰκονόμων τοῦ θύματος.*
241a. *βέλει] ἐν.*
241b. *ὀμμάτων] τῶν αὐτῆς.*
241c. *φιλοίκτωι] οἶκτον καὶ φίλτρον ἔχοντι.*
242a. *πρέπουσα] ἤγουν διαπρεπὴς οὖσα ὡς ἀπὸ γραφῆς ἄγαλμα.*
242b. *προσεννέπειν] προσλαλῆσαι.*
243. *ση(μείωσαι).*
244a. *κατ᾽ ἀνδρῶνας] ἤτοι τοὺς οἴκους.*
244b. *εὐτραπέζους] ἤγουν ἐν συμποσίοις.*
245a. *ἔμελψεν] ἦισεν.*
245b. *ἁγνᾶι] ἐν παρθενικῆι.*
245c. *δ᾽] γάρ.*

245d. ἀταύρωτος] μὴ συνεζευγμένη ταύρωι ἢ ἀνδρί, ὡς δάμαλις, ὡς μόσχος.
245e. αὐδᾶι] φωνῆι.
246. εὔποτον] πολλὰς θυσίας ποιοῦντα ἢ εὐωχίας καὶ συμπόσια καὶ
5 πότους καλῶς διακειμένους.
247a. αἰῶνα] τὴν ζωήν.
247b. φίλως] προσφιλῶς.
247c. ἐτίμα] ἤτοι ζηλωτὸν ἐποίει δι' ἑαυτῆς τὸν πατέρα.
248a. ἀντιστροφὴ κώλων ια'.
10 248b. τὰ δ' ἔνθεν] τὰ ἐντεῦθεν, τὰ ἑξῆς.
248c. εἶδον] ἐθεασάμην.
248d. ἐννέπω] λέγω.
249a. Κάλχαντος] τοῦ.
249b. ἄκραντοι] ἀτέλεστοι.
15 249c. οὐκ ἄκραντοι] ἀλλὰ τελεσθήσονται.
250a. δίκα] ἡ δικαιοσύνη.
250b. Δίκα δέ· τοῖς πεπονθόσι, φησίν, ἡ δίκη δίδωσι τὸ μαθεῖν· δίκην γὰρ δόντες μανθάνουσιν.
251a. μαθεῖν] τό.
20 251b. ἐπιρρέπει] ἤτοι δίδωσι.
252a. κλύοις] ἀκούσαις.
252b. προχαιρέτω] φθαρήτω τὸ μέλλον.
253. δὲ] γάρ. ὁ γὰρ προγινώσκων τὸ μέλλον καὶ προστενάζει.
254a. τορὸν] φανερόν.
25 254b. ἥξει] τὸ μέλλον.
254c. σύναρθρον] συνηρμοσμένον βοαῖς καὶ θρήνοις.
254d. ἀυταῖς] συνίζησις.
255a. πέλοιτο] γένοιτο.
255b. τούτοισιν] ἤγουν μετὰ ταῦτα τὰ ἑξῆς.
30 255c. εὔπραξις] εὐπραγία.
255d. ὡς] καθά.
256a. τόδ' ἄγχιστον] ἤγουν ἡμεῖς.
256b. ἄγχιστον] τὸ συγγενικόν, ἤγουν οἱ ὁμόφυλοι.
256c. Ἀπίας] τῆς Πελοποννήσου.
35 257a. γαίας] γῆς.

8 cf. sch. uet. 246 || 17 cf. sch. uet. 250–252 || 24 cf. sch. uet. 254a || 30 cf. sch. uet. 255 || 33 cf. sch. uet. 256 || 34 cf. Erbse ad sch. A Hom. *Α* 270a

257b. *μονόφρουρον*] *ἤγουν ἡμεῖς οἱ καταλειφθέντες μόνοι εἰς φρουρὰν τῆς χώρας.*
258a. *ἡμέτερον* + *ἥκω σεβίζων· αἱ ἑξῆς αὗται συστηματικαὶ περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων* ϛζ', *ὧν τελευταῖος· χάρις γὰρ οὐκ ἄτιμος εἴργασται πόνων. ἐπὶ ταῖς* 5 *ἀποθέσεσι παράγραφος καὶ ἐπὶ τῶι τέλει κορωνὶς εἰσιόντος* ⟨*τοῦ*⟩ *χοροῦ.*
258b. *ἥκω*] *ἦλθον.*
258c. *σεβίζων*] *τιμῶν.*
258d. *Κλυταιμήστρα*] *ὦ.* 10
259a. *δίκη*] *δίκαιον.*
259b. *φωτὸς*] *ἀνδρός.*
259c. *ἀρχηγοῦ*] *βασιλέως.*
259d. *τίειν*] *τιμᾶν.*
260a. *Ἐρημωθέντος ἄρσενος θρόνου· ἤγουν ἐρήμου καταλει-* 15 *φθέντος τοῦ θρόνου τοῦ βασιλέως, ὡς ἀποδημοῦντος ἐκείνου. παρόντος μέντοι οὐ δεῖ ἐντυγχάνειν αὐτῆι πάντα καὶ τὸν τυχόντα.*
260b. *ἐρημωθέντος*] *ἤγουν ἀποδημοῦντος τοῦ βασιλέως.*
261a. *κεδνὸν*] *ἀγαθόν.*
261b. *μὴ*] *ἤγουν κακόν.* 20
261c. *πεπυσμένη*] *ἀκούσασα.*
262a. *εὐαγγέλοισιν*] ⟨*ἤγουν καλὴν ἀγγελίαν*⟩ *προσδοκῶσα.*
262b. *θυηπολεῖς*] *περὶ θυσίας διατρίβεις.*
263a. *κλύοιμ'*] *ἀκούσαιμί σου.*
263b. *εὔφρων*] *καλῶς φρονοῦσα.* 25
263c. *σιγῶντι*] *ἤγουν εἰ μὴ θέλεις εἰπεῖν, οὐ μεμψαίμην ἄν.*
264a. *παρ(οιμία).*
264b. *εὐάγγελος*] *καλὰ ἀγγέλουσα.*
264c. *παροιμία*] *λέγει δηλονότι.*
265a. *ἕως*] *ἡ ἡμέρα.* 30
265b. *γένοιτο*] *ἤγουν γένοιτο καλὴ ἡ ἡμέρα, ὥσπερ καὶ ἡ νὺξ ἡ αὐτὴν γεννήσασα.*
266a. *πεύσηι*] *ἀκούσηι.*

16—17 cf. sch. uet. 260 || **26** cf. sch. uet. 263 || **31** cf. sch. uet. 265

5 *εἴργεσθαι* T | u. 354 || **6** add. Smith || **21** *ἀκούσουσα* T[pc] || **22** *ἤγουν καλὴν ἀγγελίαν* legit van Heusde, hodie legi non possunt

266b. *χάρμα*] *χαράν*.
266c. *μεῖζον*] *ἤγουν μεῖζον τοῦ ἐλπίσαι τινὰ ἀκοῦσαι τοῦτο ἤτοι ὑπὲρ ἐλπίδα.*
267. *ἠιρήκασιν*] *ἐκράτησαν.*
5 **268a.** *Τοῦτο παρὰ τὸ ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων, ἤγουν ἔξω τῆς ἀκοῆς μου ἐξ ἀπιστίας ὁ λόγος σου γέγονεν.*
268b. *φήις*] *λέγεις.*
268c. *πέφυγε*] *τὴν ἀκοήν.*
269a. *Ὄντως ἀληθῶς λέγω τὴν Τροίαν οὖσαν τῶν Ἀχαιῶν, ἤγουν*
10 *ἀληθῶς λέγω κρατηθῆναι τὴν Τροίαν ὑπὸ τῶν Ἀχαιῶν.*
269b. *ἦ*] *ὄντως.*
269c. *τορῶς*] *ἀληθῶς.*
270a. *ὑφέρπει*] *ἐν ψυχῆι γίνεται.*
270b. *ἐκκαλουμένη*] *τινὲς γὰρ καὶ ἀπὸ χαρᾶς δακρύουσιν.*
15 **271.** *φρονούσης*] *ἤγουν τὸ ὄμμα σου δείκνυσί σε πρὸς τὸ εὔθυμον διατεθεῖσαν ἀπὸ φρονήσεως.*
272a. *γὰρ*] *δέ.*
272b. *τῶνδε*] *ὧν λέγεις.*
272c. *τέκμαρ*] *σημεῖον.*
20 **273a.** *ἔστιν*] *σημεῖον.*
273b. *οὐχί*] *οὐκ ἔστιν.*
273c. *Εἰ μή τις θεός με δηλονότι ἀπατᾶι, σημεῖον ἀληθέστατον ἔχω.*
273d. *δολώσαντος*] *δολερῶς ἀπατήσαντος.*
273e. *θεοῦ*] *τινός.*
25 **274a.** *πότερα*] *ποῖόν ἐστι.*
274b. *φάσματ'*] *ἤγουν ὀνείροις κατεπείσθης.*
274c. *σέβεις*] *τιμᾶις.*
275a. *οὐ δόξαν*] *ἤγουν οὐ δοξάσει τις περὶ ἐμοῦ ὡς ῥαθύμως ἐφύλαττον.*
30 **275b.** *Βρίζειν κυρίως τὸ μετὰ βορὰν καὶ τροφὴν ἵζειν, ὅ ἐστι κοιμᾶσθαι.*
275c. *βριζούσης*] *νυσταζούσης ἤτοι κοιμωμένης.*
276a. *ἦ*] *ἆρα.*
276b. *ἐπίανεν*] *ἴανεν, εὔφρανεν.*

11 cf. sch. uet. 269 || 22 cf. sch. uet. 273 || 30 Or. 10, 1 Et. Gen. *ἀποβρίξαι* E. M. 126, 52 Et. Gud. 168, 8 de Stef. || 31 cf. sch. uet. 275

2.3 *ὑπερέλπιδα* T || 5 Hom. Δ 350

276c. *ἄπτερος φάτις*] *ἡ ἄνευ πτερῶν ταχεῖα φήμη.*
277a. *νέας*] *νεαρᾶς.*
277b. *ὧς*] *ὥσπερ.*
277c. *κάρτ'*] *λίαν.*
277d. *ἐμωμήσω*] *ἐμέμψω, ἐλογίσω.* 5
277e. *φρένας*] *ἐμοῦ.*
278. *ποίου*] *ἐπί.*
279a. *τῆς*] *ἐπὶ.*
279b. *φῶς*] *ἤγουν τῆς παρούσης ἡμέρας.*
279c. *εὐφρόνης*] *νυκτός.* 10
280. *ἐξίκοιτ'*] *καταλάβοι.*
281a. *Ἥφαιστος*] *ἤγουν πῦρ.*
281b. *Ἴδης*] *τοῦ ὄρους.*
281c. *ἐκπέμπων*] *ἐμήνυσε τοῦτο δηλονότι.*
281d. *σέλας*] *φῶς.* 15
282a. *φρυκτὸς*] *ἤγουν πυρσός.*
282b. *δεῦρ'*] *ἐνταῦθα.*
283a. *Ὄρος Λήμνου τὸ Ἑρμαῖον ἐν ὧι ἐτιμᾶτο ὁ Ἑρμῆς.*
283b. *λέπας*] *ἀκρωτήριον.*
284. *νήσου*] *τῆς Λήμνου.* 20
285a. *Ἀθῶιον*] *ἤγουν ὁ Ἄθως.*
285b. *αἶπος*] *ὕψος.*
286a. *Ἕλης*] *ὑπὲρ τὸν Ἑλλήσποντον.*
286b. *Σημείωσαι ὡς ἡ Ἕλλη τὸ κύριον, διπλασιάζουσα τὸ λ πρὸς διαστολὴν τῆς θερμαινούσης ἕλης, ἀπέβαλε νῦν αὐτὸ διὰ μέτρου ἀνάγκην. τὸ δὲ ὑπὲρ προσέλαβε τὸ ι διὰ τὴν αὐτὴν αἰτίαν.* 25
286c. *Νωτίσαι· ὀπίσω ἀφεῖναι ἤγουν κατὰ τὰ νῶτα. κατὰ τὰ νῶτα γὰρ ἀφίεται ὁ Ἑλλήσποντος τοῖς ἐγγίσασι τῶι Ἄθωνι.*
286d. *νωτίσαι*] *ὑπερβῆναι τὰ νῶτα.*
287a. *ἰσχὺς*] *δύναμις ἐστί.* 30
287b. *πορευτοῦ*] *τῆς.*
287c. *πορευτοῦ*] *τοῦ ἐκ διαδοχῆς πορευομένου πυρσοῦ καὶ ἡδονὴν φέροντος.*
288a. *ἡμέτερα* + *ἡ πεύκη, φησίν, ἰσχύς τις καὶ δύναμίς ἐστι τῆς λαμπάδος, ἤτοι τοῦ πυρσοῦ, παραγγείλασα καὶ φθάσασα τὰς σκοπιὰς τοῦ* 35

1 cf. sch. uet. 276b || 18 cf. sch. uet. 283b

27 *τὰ*[2]] *τὰ τὰ* T || 34 *ἡμέτερα*] sch. 288a. 296e. 306b

Μακίστου ὄρους πρὸς ἡδονὴν ἡμετέραν διὰ τὸ εὐάγγελος εἶναι ὥσπερ τις ἥλιος πέμπων δηλονότι τὸ χρυσοφαὲς καὶ λαμπρὸν σέλας αὐτοῦ.

288b. *πεύκη*] *ἡ.*

288c. *χρυσοφεγγὲς*] *τὸ λαμπρόν.*

5 **289a.** *σέλας*] *αὐτοῦ.*

289b. *Ὁ εἰδὼς πῶς λέγεται παραγγέλλειν τὸ βρέφος εἰς παῖδα καὶ τὸν παῖδα εἰς ἄνδρας οἶδε καὶ πῶς λέγεται ὁ ἐκ τοῦ Ἄθω πυρσὸς παραγγεῖλαι εἰς τὰς σκοπιὰς τοῦ Μακίστου ὄρους Εὐβοίας· παρήγγειλε γὰρ πάντως ἐκεῖσε οἷα τεθεαμένος τοῖς ἐκεῖ φύλαξιν.*

10 **289c.** *παραγγείλασα*] *ἤγουν φθάσασα διὰ τοῦ φωτός.*

289d. *Μακίστου*] *ὄρος Εὐβοίας.*

289e. *σκοπάς*] *τάς.*

289f. *σκοπάς*] *σκοπιάς.*

290a. *ὁ*] *ἤγουν ὁ Μάκιστος.*

15 **290b.** *μέλλων*] *βραδύνων.*

290c. *ἀφρασμόνως*] *ἀνοήτως, ἀμελῶς.*

291a. *νικώμενος*] *ἤγουν ἡττηθεὶς ῥαθυμίαι.*

291b. *παρῆκεν*] *ἀπέλειψεν.*

291c. *ἀγγέλου μέρος*] *ἤγουν τὸ ἄγγελος καὶ αὐτὸς ἐν μέρει φανῆναι.*

20 **292a.** *ἑκὰς*] *μακράν.*

292b. *δὲ*] *γάρ.*

293a. *Μεσσαπίου*] *ὄρος μεταξὺ Εὐβοίας καὶ Βοιωτίας.*

293b. *φύλαξι*] *τοῖς.*

293c. *σημαίνει*] *δεικνύει.*

25 **293d.** *μολόν*] *ἐλθὸν τὸ φῶς.*

294a. *οἱ*] *οἱ φύλακες.*

294b. *παρήγγειλαν*] *ἔφθασαν διὰ τοῦ πυρός.*

294c. *πρόσω*] *ἔμπροσθεν.*

295a. *γραίας*] *παλαιᾶς.*

30 **295b.** *ἐρείκης*] *εἶδος φυτοῦ.*

295c. *θωμὸν*] *σωρόν.*

295d. *πυρί*] *ἐν.*

296a. *σθένουσα*] *ἰσχύουσα.*

296b. *λαμπὰς*] *ἤγουν ὁ πυρσός.*

11 cf. sch. uet. 289 || **22** cf. sch. uet. 293a || **31** cf. sch. uet. 295

22 cf. praef. p. XIII

296c. *δ'*] *γάρ.*
296d. *μαυρουμένη*] *ἀμαυρωθεῖσα καὶ οἷον ἀποκαμοῦσα.*
296e. + *σημείωσαι ὅτι ἀπέβαλε τὸ α διὰ τὸ μέτρον.*
297a. *ὑπερθοροῦσα*] *ἤγουν διαδραμοῦσα, διελθοῦσα.*
297b. *πεδίον*] *τό.* 5
297c. *Ἀσωποῦ*] *τοῦ.*
297d. *Ἀσωποῦ*] *ποταμοῦ Θετταλίας.*
297e. *δίκην*] *τρόπον.*
298a. *φαιδρᾶς*] *λαμπρᾶς.*
298b. *λέπας*] *ἀκρωτήριον.* 10
299a. *ἤγειρεν*] *ἀναλάμψαι πεποίηκεν.*
299b. *ἐκδοχὴν*] *διαδοχήν.*
300a. *τηλέπομπον*] *τὸ μακρὰν πέμπον ἑαυτό.*
300b. *οὐκ ἠναίνετο*] *ἀλλ' ἐπῃνεῖτο δηλονότι.*
301a. *φρουρά*] *φυλακὴ λέγω ἣν ἐκεῖ.* 15
301b. *πλέον καίουσα*] *ἤγουν καὶ ἄλλοι φρυκτοὶ ἐγένοντο. οὗτοι δὲ ἦσαν ἐξαίρετοι οἱ ἐν Κιθαιρῶνι.*
302a. *ἔσκηψεν*] *ἐπῆλθεν.*
302b. *φάος*] *ἤγουν πυρσός.*
303a. *ἐπ' Αἰγίπλακτον*] *ἤγουν τῆς Μεγαρίδος, εἰς ὃ αἶγες πλανῶνται.* 20
303b. *ἐξικνούμενον*] *ἤγουν φθάνον.*
304a. *ὤτρυνε*] *παρεκίνει.*
304b. *θεσμὸν*] *νόμον, ἔθος.*
304c. *χαρίζεσθαι*] *τοῖς ἑξῆς.*
305a. *πέμπουσι*] *τοῖς ἑξῆς.* 25
305b. *ἀνδαίοντες*] *ἀνακαίοντες.*
305c. *ἀφθόνωι*] *πολλῶι.*
305d. *μένει*] *σθένει, δυνάμει.*
306a. *μέγαν*] *ἤτοι μέγαν πυρσόν.*
306b. + *πώγωνα λέγει τὴν εἰς ὀξὺ λήγουσαν ἀκμὴν τοῦ πυρός. καὶ ὁ πώγων γὰρ εἰς ὀξὺ λήγει, ὥσπερ καὶ ἐν ἑτέρωι αὐθάδη γνάθον τὴν ἀκμὴν εἴρηκε καὶ ὀξύτητα τῆς σφηνός.* 30
306c. *Σημείωσαι ὅτι ἐκ τούτου ὠνομάσθη ὁ παρὰ τοῖς μετεωρολόγοις πωγωνίας ἀστήρ.*
306d. *Σαρωνικοῦ*] *κόλπος περὶ Τροιζῆνα.* 35

35 cf. sch. uet. 306a

31 Prom. 64 || **33** *μετεορολόγοις* **T**

307 a. *ἡμέτερα + πέμπουσι δέ, φησί, πώγωνα μέγαν φλογός, ἤγουν μεγάλην φλόγα φλέγουσαν καὶ λάμπουσαν, ὥστε ὑπερβάλλειν πρόσω, ἤτοι διελθεῖν καὶ τὸν πρῶνα τοῦ Σαρωνικοῦ πορθμοῦ, τὸ κάτοπτρον λέγω, ἤγουν τὸν διαφανῆ καὶ περίβλεπτον. εἰ δὲ βούλει, τὸν πρῶνα λέγε*
5 *τοῦ Σαρωνικοῦ κόλπου δηλονότι τὸ κάτοπτρον τοῦ πορθμοῦ ἤτοι τὸν ἀντικρὺ κείμενον καὶ κατ' ὀφθαλμοὺς ὡς εἰπεῖν τοῦ πορθμοῦ.*
307 b. *κάτοπτρον*] *τό.*
307 c. *πρῶνα*] *τὴν ἐξοχήν.*
307 d. *ὑπερβάλλειν*] *διελθεῖν.*
10 **307 e.** *πρόσω*] *ἔμπροσθεν.*
308 a. *φλέγουσαν*] *λάμπουσαν.*
308 b. *ἔσκηψεν*] *ἐπῆλθεν.*
308 c. *ἀφίκετο*] *ἐκ παραλλήλου.*
309 a. *Ἀραχναῖον*] *εἰς.*
15 **309 b.** *Ἀραχναῖον*] *ὄρος Ἄργους.*
309 c. *αἶπος*] *ὕψος.*
309 d. *ἀστυγείτονας*] *ἤγουν τὰς πλησιαζούσας τῶι Ἄργει.*
309 e. *σκοπάς*] *σκοπιάς.*
310 a. *σκήπτει*] *ἐμπίπτει.*
20 **310 b.** *στέγος*] *τὸν οἶκον.*
311. *οὐκ ἄπαππον*] *οὐ ξένον, ἀλλὰ συγγενές.*
312 a. *τοιοίδ'*] *τοιοῦτοι εἰσίν.*
312 b. *ἕτοιμοι*] *πρόχειροι.*
312 c. *λαμπαδηφόρων*] *ἤγουν τῶν τοὺς πυρσοὺς ποιούντων.*
25 **312 d.** *νόμοι*] *τὸ ἔθος.*
313 a. *διαδοχαῖς*] *ἐν.*
313 b. *πληρούμενοι*] *τελούμενοι.*
314. *ὁ πρῶτος*] *ὁ ἀρξάμενος ἐν Ἴδηι καὶ σημήνας ἡμῖν τοῖς ἐν τῶι Ἀραχναίωι.*
30 **315 a.** *τοιοῦτον*] *τό.*
315 b. *σύμβολον*] *σημεῖον τῆς νίκης.*
316 a. *Τοῦτό μοι, φησί, παρήγγειλεν ὁ Ἀγαμέμνων σύμβολον ἐκ Τροίας εἶναι τοῦ τέλους αὐτῆς.*
316 b. *παραγγείλαντος*] *εἰπόντος.*

15 cf. sch. uet. 309 || **21** cf. sch. uet. 311

1 *ἡμέτερα*] sch. 307 a. 321 b

317a. αὖθις] ἤγουν μετὰ ταῦτα.
317b. προσεύξομαι] διὰ τὴν νίκην.
318. ἀκοῦσαι] σέ.
319a. διηνεκῶς] ἀεί, διὰ μακροῦ.
319b. ὡς] ἵνα. 5
320. ἔχουσ'] κατέχουσιν.
321a. ἄμικτον] μὴ ἡνωμένην, ἀλλὰ διῃρημένην.
321b. + ἄμικτον βοὴν λέγει ἤτοι διῃρημένην· οὐ γὰρ ὁμοία ἐστὶν ἡ τῶν ἁλόντων βοὴ καὶ τῶν κρατησάντων. οἱ μὲν γὰρ θρηνοῦσιν, οἱ δὲ ἐπινίκια ἄιδουσι. θέλων δὲ δεῖξαι τὴν αὐτῶν διαίρεσιν καὶ μάχην φησίν· 10 ὥσπερ εἰ ἐν ἑνὶ κύτει καὶ ἀγγείωι ἐκχέας ὄξος καὶ ἔλαιον προσείποις ἂν αὐτὰ ἤγουν καλέσεις διχοστατοῦντα καὶ μαχόμενα οὐ φίλως, ἀλλ' ἐχθρῶς δηλονότι, τὸν αὐτὸν τρόπον καὶ τῶν ἁλόντων καὶ κρατησάντων τὰς φωνὰς ἔστιν ἀκούειν διπλᾶς, καὶ πῶς ἑξῆς λέγει. οὕτω δέον εἰπεῖν τὴν παραβολήν, ὁ δὲ ξενοτρόπως ἐπήνεγκεν ἄνευ τοῦ ὡς καὶ ἄνευ τοῦ 15 τὸν αὐτὸν τρόπον ὥσπερ ἡμεῖς σαφηνείας εἰρήκαμεν ἕνεκα.
321c. πόλει] τῆι Τροίαι.
321d. πρέπειν] ἁρμόζειν, γίνεσθαι.
322a. ὄξος] λείπει τὸ ὡς.
322b. ἄλειφα] ἔλαιον. 20
322c. ταυτῶι] ἑνί.
322d. κύτει] ἀγγείωι.
323a. διχοστατοῦντ'] μαχόμενα.
323b. φίλως] προσφιλῶς.
323c. προσεννέποις] εἴποις ἄν. 25
324a. ἁλόντων] πορθηθέντων.
324b. κρατησάντων] νικησάντων.
324c. δίχα] διπλῶς.
325a. φθογγὰς] φωνάς.
325b. συμφορᾶς] ἕνεκα. 30
325c. διπλῆς] ἤτοι τῆς συντυχίας ἁπλῶς.
326a. οἱ μὲν] οἱ ἁλόντες.
326b. ἀμφὶ] περί.
326c. πεπτωκότες] τοῖς σφαγεῖσι καὶ τεθνηκόσιν.
327a. κασιγνήτων] ἀδελφῶν. 35

19 cf. sch. uet. 322

327b. *Οὐ κατὰ τὸν φυτάλμιον Δία ἐνταῦθα ἡ ἐτυμολογία· ἐκ τῆς φύτλης δὲ γίνεται φυτλάμιος ἤγουν φυτοσπόρος καὶ μεταθέσει διὰ καλλιφωνίαν φυτάλμιος.*
327c. *φυταλμίων*] *τῶν ἐκ τῆς αὐτῆς φυλῆς ἢ φυτοσπόρων.*
5 **328.** *οὐκέτ' ἐξ ἐλευθέρου*] *ἀλλ' ὑπεζευγμένης τῆι δουλείαι.*
329a. *δέρης*] *ἤγουν στόματος ἀπὸ μέρους.*
329b. *ἀποιμώζουσι*] *θρηνοῦσι.*
329c. *μόρον*] *θάνατον.*
330a. *τοὺς*] *τοὺς κρατήσαντας.*
10 **330b.** *αὖτε*] *πάλιν.*
330c. *νυκτίπλακτος*] *ἐν νυκτὶ γὰρ ἐκρατήθη ἡ Τροία.*
331a. *νήστεις*] *ἀσίτους.*
331b. *ἀρίστοισιν*] *ἤτοι πρὸς δεῖπνα.*
331c. *ἀρίστοισιν*] *διὰ τὸ μέτρον.*
15 **331d.** *ὧν*] *βρωμάτων δηλονότι.*
332a. *τάσσει*] *ἄγει.*
332b. *ἐν μέρει*] *ἤγουν οὐ πρός τι σημεῖον κατ' ἀξίαν γινόμενον.*
333a. *ἔπλασεν*] *ἔλαβεν.*
333b. *πάλον*] *κλῆρον.*
20 **335a.** *ναίουσιν*] *οἰκοῦσιν.*
335b. *Ἢ τῶν ψυχρῶν λέγει παγετῶν ἢ τῶν ὀρεινῶν τόπων τῶν ὑπὸ τὸν αἰθέρα ὄντων.*
335c. *τῶν ὑπαιθρίων*] *ἃ ὑπαίθριοι κείμενοι ὑφίσταντο.*
335d. *πάγων*] *ὀρῶν ἢ παγετῶν.*
25 **336a.** *δρόσων*] *τῶν ἑωθινῶν.*
336b. *ἀπαλλαγέντες*] *ἐλευθερωθέντες.*
336c. *δυσδαίμονες*] *ὄντες πρότερον.*
336d. *Ὄντες πρότερον δηλονότι δυστυχεῖς, νῦν ἀμερίμνως εὑδήσουσιν.*
337a. *ἀφύλακτον*] *ἄφοβον.*
30 **337b.** *εὑδήσουσι*] *ὑπνώσουσιν.*
337c. *εὐφρόνην*] *νύκτα.*
338. *εὐσεβοῦσι*] *εὐσεβῶς διατεθῶσι περὶ ἐκείνους.*
339a. *ἁλούσης*] *πορθησείσης.*
339b. *ἱδρύματα*] *καθέδρας, ναούς.*
35 **340a.** *ἑλόντες*] *πορθήσαντες.*
340b. *αὖθις*] *πάλιν.*

1—3 cf. Hesych. *φυτάλμιος Ζεύς* Et. Gen. *φυτάλιμος* E. M. 803, 4

340c. *αὖ*] *δή.*
340d. *θάνοιεν*] *ἤγουν φθαρεῖεν διὰ τὴν ἀσέβειαν.*
341. *ἐμπίπτοι*] *ἤγουν ἐμπέσοι.*
342a. *πορθεῖν*] *ὥστε.*
342b. *ἃ μὴ χρή*] *ἤγουν τὰ τῶν θεῶν ἱδρύματα.* 5
342c. *κέρδεσιν*] *ἐν.*
343. *δεῖ*] *πρέπει.*
344a. *κάμψαι*] *κλῖναι λέγω.*
344b. *κῶλον*] *ἤτοι μέρος.*
344c. *Ἐπειδὴ ὁ δίαυλος δύο ἔχει σταδίους, ὧν τὸ ἕτερον διῆλθον ἤδη* 10 *εἰς Τροίαν ἀνελθόντες, δεῖ λοιπὸν καὶ τὸν ἄλλον διελθεῖν καὶ ὑπονοστῆσαι πρὸς τὸν οἶκον.*
345a. *ἀναμπλάκητος*] *ἀναμάρτητος.*
345b. *μόλοι*] *ἐλεύσεται.*
346. *ἐγρήγορον*] *ἤγουν ζῶν καὶ μένον καὶ ἀεὶ αἰδόμενον, ἐκ μεταφορᾶς* 15 *τῶν μὴ ὑπνούντων.*
347a. *γένοιτ' ἄν*] *ἤγουν διηνεκῶς ἔσται τὰ κακὰ τοῖς Τρωσίν.*
347b. *Εἰ μή ποθεν ἔλθοι τοῖς Ἕλλησι κακόν τι νέον ἐξ ἐπελθούσης τινὸς συμμαχίας τοῖς Τρωσίν· ὃ δὴ καὶ πτοηθέντες ἴσως ὅσον τάχος ἀποπλεύσουσιν.* 20
347c. *πρόσπαια*] *πρόσφατα· νῦν προσπαίσαντα καὶ προσκρούσαντα αὐτοῖς.*
348. *τοιαῦτα*] *αἰσθάνεται γὰρ ὑπὲρ γυναικείαν φύσιν ταῦτα ἐξενεγκὼν ὁ ποιητής.*
349a. *κρατοίη*] *νικώη.* 25
349b. *μὴ διχορρόπως*] *ἀλλὰ βεβαίως.*
349c. *διχορρόπως*] *ἀμφιβόλως.*
349d. *ἰδεῖν*] *ὥστε.*
349e. *ἰδεῖν*] *αὐτὸ τὸ εὖ.*
[**350a.** *ση(μείωσαι).*] 30
350b. *Ὅτι πολλῶν χρημάτων προκριτέα ἡ ὄνησις· εἰ γὰρ ἐξ ὧν ἔχει τις ἀγαθῶν ὄνησίν τινα μὴ λαμβάνει, μάταια πάντ' ἂν εἴη.*
350c. *ἐσθλῶν*] *ὁποῖον καὶ ὁ νόστος.*
350d. *τὴν ὄνησιν*] *τὴν ὠφέλειαν.*
350e. *εἱλόμην*] *ἀνθειλόμην.* 35

21 *νῦν δὲ* Blaydes || 30 manu recentiore additum

351a. *γύναι*] *ὦ*.
351b. *κατ' ἄνδρα*] *ἤγουν ὡς ἀνὴρ συνετὸς ἐλάλησας*.
351c. *εὐφρόνως*] *φρονίμως*.
352a. *πιστά*] *βέβαια*.
5 **352b.** *τεκμήρια*] *σημεῖα*.
353a. *τὸ σχῆμα προέκθεσις*.
353b. *προσειπεῖν*] *ἐπικαλέσασθαι, ὑμνῆσαι*.
353c. *παρασκευάζομαι*] *ἑτοιμάζομαι*.
354a. *ὡρ(αῖον)*.
10 **354b.** *ἄτιμος*] *τιμώμενοι γὰρ οἱ θεοὶ ἠμείψαντο ἡμᾶς*.
355a. + *σύστημα ἐπιφθεγματικὸν κώλων ιβ'*.
355b. *ἡμέτερα* + *ὦ Ζεῦ βασιλεῦ· εἴρηται ἡμῖν ἐν τῶι τῶν Περσῶν δράματι περὶ τοῦ εἴδους τούτου τῶν χορῶν. ὅμοιον γάρ ἐστιν ἐκείνοις καὶ τοῦτο. ἔχει γὰρ ἐν ἀρχῆι μὲν σύστημα ἐπιφθεγματικὸν εἰς δύο*
15 *διηιρημένον περιόδους κώλων ἀναπαιστικῶν ιβ', ἑξῆς δὲ στροφὰς τρεῖς καὶ ἀντιστροφὰς τοσαύτας καὶ ἐπωιδόν. καλεῖται δὲ ταῦτα ἑπτὰς ἐπωιδική. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῶι τέλει τῆς ἐπωιδοῦ κορωνὶς καὶ παράγραφος*.
355c. *καὶ νὺξ*] *τὴν νύκτα ἐπικαλεῖται ὡς ἐν νυκτὶ τῆς πορθήσεως*
20 *γενομένης*.
356. *μεγάλων*] *ἤγουν ἥτις τὰ κτέανα καὶ τὰ κτήματα καὶ τοὺς μεγάλους ἡμῖν παρέδωκας κόσμους τῶν Τρώων*.
357a. *ἥτ'*] *ἥτις*.
357b. *ἔβαλες*] *ἐπέθηκας*.
25 **358a.** *στεγανὸν*] *πυκνόν, ἰσχυρόν*.
358b. *μέγαν*] *ἤγουν ἄνδρα ἢ ἄρχοντα*.
359a. *νεαρῶν*] *τῶν νέων*.
359b. *ὑπερτελέσαι*] *διελθεῖν, ἐκφυγεῖν*.
361a. *γάγγαμον*] *δίκτυον*.
30 **361b.** *ἄτης*] *τῆς συμφορᾶς λέγω ἥτις περιέσχε πάντας*.
362a. *ξένιον*] *τὸν φίλιον*.
362b. *αἰδοῦμαι*] *σέβομαι*.
363a. *πράξαντ'*] *ἐπαγαγόντα*.
363b. *ἐπ' Ἀλεξάνδρωι*] *παραβάντι τοὺς τῆς φιλίας νόμους*.

29 cf. sch. uet. 361a

12 *ἡμέτερα*] sch. 355b. 364a | *εἴρηται ἡμῖν*] sch. T Pers. 532

364a. + *τοῦτο ὅμοιόν ἐστι τῶι ἐν Ψαλμοῖς εἰρημένωι τὸ τόξον αὐτοῦ ἐνέτεινε καὶ ἡτοίμασεν αὐτὸ καὶ ἐν αὐτῶι ἡτοίμασε σκεύη θανάτου· ἐντείνει γὰρ ὁ θεὸς τὸ τόξον αὐτοῦ, τουτέστι τὴν τιμωρίαν μεταφορικῶς, καὶ τὴν ῥομφαίαν αὐτοῦ στιλβώσας καὶ θήξας, οὐκ εὐθὺς ἐπιφέρει, τὴν ἡμῶν μετάνοιαν ἐκδεχόμενος, μὴ ταύτην δὲ ὡς εἰκὸς ἐπιδεξαμένοις τά τε βέλη ἀφίησιν ἐφ' ἡμῖν καὶ ἣν πάλαι ῥομφαίαν ἐστίλβωσεν.* 5
364b. *τείνοντα] ἐκτείνοντα.*
364c. *τόξον] ἤτοι τιμωρίαν μεταφορικῶς.*
365. *πρὸ καιροῦ] τοῦ πρέποντος.* 10
366a. *ἠλίθιον] μάταιον.*
366b. *σκήψειεν] ἐπέλθοι.*
367a. *στροφὴ κώλων ιη'.*
367b. *ἡμέτερα* + *Διὸς πλαγάν· ἐντεῦθεν αἱ κατὰ σχέσιν ἄρχονται στροφαί· καί εἰσι τῆς μὲν πρώτης στροφῆς τὰ κῶλα ιη' καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα, τῆς δευτέρας ιζ' καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα, τῆς τρίτης ὁμοίως ιζ' καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα, τῆς δὲ ἐπωιδοῦ ιε', ἃ καὶ μετρήσεις τοῖς προτέροις ἑπόμενος. εἰσὶ γὰρ τὰ μὲν ἀντισπαστικά, τὰ δὲ τροχαϊκά, τὰ δὲ χοριαμβικά, τὰ δὲ ἰαμβικά. ἐφ' ἑκάστης στροφῆς καὶ ἀντιστροφῆς παράγραφος, ἐπὶ δὲ τῶι τέλει τῆς ἐπωιδοῦ κορωνὶς καὶ παράγραφος.* 15 20
367c. *Διός] ἤγουν ἐκ Διὸς ἐπελθεῖν.*
367d. *ἔχουσιν] τοῖς.*
367e. *εἰπεῖν] τὰ συμβάντα.*
368. *ἐξιχνεῦσαι] ἀνερευνῆσαι.* 25
369a. *ὡς] οὕτως.*
369b. *ἔπραξεν] ὁ Ζεὺς δηλονότι ταῦτα.*
369c. *ὡς] οὕτως.*
369d. *ἔκρανεν] ἐτέλεσεν.*
370a. *ὡρ(αῖον).* 30
370b. *ἔφα τις] εἰπέ τις.*
371a. *ἀξιοῦσθαι] οὐκ ἄξιον κρίνειν τοὺς θεούς.*
371b. *μέλειν] φροντίδα ἔχειν τῶν ἀνθρώπων ἐκείνων.*
372. *ἀθίκτων] τῶν ἱερῶν.*

11 cf. Hesych. *ἠλίθιον*

1—3 Ps. 7, 13 || 14 *ἡμέτερα*] sch. 367b. 374a

373a. *πατοῖθ'*] καταφρονεῖται.
373b. *οὐκ εὐσεβής*] ὁ πατῶν τὰ ἱερά.
374a. + *πέφανται δέ*· οἱ θεοί, φησί, πέφανται καὶ φανεροὺς ποιοῦσι τοὺς ἐκγόνους τῶν ἀσεβῶν τῶν πνεόντων Ἄρη μεῖζον ἢ δικαίως κατὰ
5 τῶν δωμάτων τῶν ἀτολμήτων, ἤτοι τῶν ὑπὲρ τὸ δίκαιον μαχομένων τοῖς ἱεροῖς οἴκοις τῶν θεῶν, εἰς ἃ οὐ τολμᾶν τι χρὴ ἀσεβές, τῶν φλεόντων λέγω καὶ φλυαρούντων καὶ βλασφημούντων κατ' αὐτῶν ὑπέρφευ ὑπὲρ τὸ βέλτιστον, ἤτοι ἔξω τοῦ βελτίστου καὶ τοῦ καλοῦ καὶ προσήκοντος. οὐ γὰρ χρὴ βλασφημεῖν, ἀλλ' ὑμνεῖν τοὺς θεούς. τὸ *ὑπέρφευ* δὲ διὰ
10 μέσου εἴρηται ἀντὶ τοῦ φεῦ βαβαί, ἐκπληττομένου οἷον τοῦ χοροῦ ἐπὶ τῆι ἀσεβείαι καὶ βλασφημίαι ἐκείνων. πῶς δὲ φανεροὺς ποιοῦσιν αὐτούς; τιμωρούμενοι. τοὺς μὲν γὰρ παῖδας τῶν εὐσεβῶν ἀγαθοῖς ἀμείβονται, τοὺς δὲ τῶν ἀσεβῶν καὶ βλασφήμων τιμωρίαις ὑποβάλλουσι κἀντεῦθεν ἐμφαίνουσιν ὡς ἀσεβῶν εἰσι παῖδες, διὸ καὶ τοιαῦτα πάσχουσιν.
15 **374b.** *πέφανται*] φανεροὺς ποιοῦσιν.
374c. *δὲ*] γάρ.
374d. *ἐγγόνους*] τοὺς ἀπογόνους.
375a. *ἀτολμήτων*] τῶν ἱερῶν εἰς ἃ οὐ τολμᾶν τι χρὴ ἀσεβές.
375b. *πνεόντων*] ἤτοι τῶν μαχομένων τοῖς ἱεροῖς.
20 **376.** *μεῖζον*] ἤτοι ἐπέκεινα τοῦ δικαίου ἤγουν ὑπὲρ τὸ δίκαιον.
377a. *φλεόντων*] φλυαρούντων.
377b. *δωμάτων*] κατά.
377c. *δωμάτων*] ἐνταῦθα τὸ *ἀτολμήτων*.
377d. *ὑπέρφευ*] διὰ μέσου ἀντὶ τοῦ βαβαί.
25 **378a.** *ὑπὲρ τὸ βέλτιστον*] ἤγουν πλέον τοῦ βελτίστου, τουτέστιν ἔξω τοῦ καλοῦ.
378b. *ἀπήμαντον*] ἀβλαβῆ ἐμέ.
379. *κἀπαρκεῖν*] διατελεῖν.
380. *πραπίδων*] φρονήσεως.
30 **381a.** ὡρ(αῖον).
381b. *ἔπαλξις*] βοήθεια.
382. *πλούτου*] ἤγουν οὐκ ἔστι πρὸς κόρον πλουτεῖν τὸν ἄδικον.
383a. *ἐκλακτίσαντι*] ἀνατρέψαντι.
383b. *μεγάλα*] μεγάλως.
35 **383c.** *μεγάλα*] ἀντὶ μιᾶς.
384a. *βωμὸν*] ἤγουν τὴν δίκην.

21 cf. sch. uet. 376

384b. *ἀφάνειαν*] *ἤγουν ὥστε ἀφανῆ γενέσθαι καὶ φθαρῆναι.*
385a. *ἀντιστροφὴ κώλων ιη'.*
385b. *Ἡ τῆς ἄτης πειθὼ ἄφερτος καὶ ἀφόρητος καὶ βαρεῖά ἐστιν, ἥτις βιάζει αὐτούς, πρόνοιαν δῆθεν τοῦ πλουτῆσαι τοὺς παῖδας ποιουμένη.* 5
385c. *βιᾶται*] *βιάζει.*
385d. *τάλαινα*] *ἀθλία.*
386a. *προβουλόπαις*] *ἡ προβουλευομένη πλουτῆσαι τοὺς παῖδας.*
386b. *ἄφερτος*] *ἀφόρητος.*
387a. *Ἡ θεραπεία τῆς ἐπιθυμίας αὐτῶν διάδηλος γίνεται· ὡς φῶς δὲ* 10 *πρέπει τὸ αἰνολαμπὲς αὐτῶν σέλας.*
387b. *ἡμέτερον + ἤγουν ὥσπερ τὸ φῶς φανερόν ἐστι καὶ οὐ δύναται κρυβῆναι, οὕτω καὶ ἡ ματαία αὐτῶν θεραπεία δείκνυται. ἄκος δὲ εἶπεν ἐπεὶ βουλόμενοι θεραπεῦσαι τὴν πρὸς μάχας καὶ πολέμους ὁρμήν, φασίν, ὅπως τοῖς παισὶ καταλείποιεν πλοῦτον, ἀλλ' ὥσπερ κακὸς χαλ-* 15 *κὸς ἐν ὁδῶι προβεβλημένος καὶ ἐρριμμένος μελαίνεται καὶ ἐξιοῦται καὶ τὸ κάλλος ἀπόλλυσιν, οὕτω κἀκεῖνος ὁ ταῦτα λέγων πέλει καὶ ὑπάρχει μελαμπαγής, ἤγουν μελαίνεται καὶ ἀμαυροῦται, δικαιωθείς, ἤτοι δικαίως τοῦτο παθών, ἐν τρίβωι καὶ ἐν προβολαῖς, ἤγουν προβεβλημένος καὶ ἐρριμμένος καὶ κείμενος ἐν τρίβοις καὶ ἄλλοις τόποις ὑπαιθρίοις καὶ* 20 *ταλαιπωρούμενος μέχρις ἂν τροπώσαιτο τοὺς ἐχθροὺς καὶ πλοῦτον ἐξ ἐκείνων πορίσαιτο. ὥσπερ δὲ πόλεμός τις ἀνερριπίσθη ἐξ ἀφροσύνης παιδὸς καὶ μάχη συνεκροτήθη διὰ περιστερὰν ἢ πέρδικα καὶ ἱέρακα διώξαντος τοῦτον καὶ κατασχόντος, καὶ τῆι τούτου προσετρίβη πατρίδι κακόν τι ἀφόρητον, οὕτω καὶ Ἰλίωι συνέβη χαλεπόν τι κακὸν ἐξ ἀφρο-* 25 *σύνης τοῦ Πάριδος. οὕτω δέον εἰπεῖν τὰς παραβολάς, ὁ δὲ συνήθως καὶ ταύτας ἐξήνεγκεν δεινὸν ποιῶν τὸν λόγον καὶ ἀσαφῆ, ὄγκον ἐκ τούτου καὶ μέγεθος τούτωι περιθεῖναι βουλόμενος. ἔθος γὰρ τοῦτο τοῖς ποιηταῖς συγχεῖν τὴν φράσιν ἐν τοῖς χοροῖς, ὥστε δοκεῖν τὸν λόγον ἐκ πολλῶν στομάτων προέρχεσθαι. οὗτος δὲ μάλιστα καὶ Πίνδαρος τοῦτο ποιεῖν* 30 *εἰώθασι, τῶι ἁδρῶι τόνωι καὶ ὄγκον φέροντι χαίροντες.*
387c. *ὡς*] *ὥσπερ.*
387d. *ἄκος*] *θεραπεία.*
387e. *παμμάταιον*] *πάνυ μάταιον.*
388a. *οὐκ ἐκρύφθη*] *ἀλλὰ δῆλον ἐγένετο.* 35
388b. *δὲ*] *γάρ.*

4 *πλουτίσαι* T

389 a. *αἰνολαμπὲς*] τὸ χαλεπῶς λάμπον.
389 b. *σίνος*] σέλας.
390. *κακοῦ*] ἤγουν τοῦ κακωθέντος καὶ ἀμαυρωθέντος ἐν τῆι ὁδῶι.
391 a. *τρίβωι*] ἐν.
5 **391 b.** *τρίβωι*] ἤγουν ἐν ὁδῶι προβεβλημένου καὶ ἐρριμμένου.
392 a. *μελαμπαγὴς*] ἤγουν μελαίνεται καὶ ἐξιοῦται.
392 b. *πέλει*] ὑπάρχει.
393. *δικαιωθείς*] ἤγουν δικαίως τοῦτο παθών.
394 a. *διώκει*] ἤγουν διώκων λαμβάνει.
10 **394 b.** *παῖς*] τίς.
394 c. *πτανὸν*] ταχύν, πτερωτόν.
395 a. *πόλει*] τῆι αὑτοῦ πατρίδι.
395 b. *πρόστριμμ'*] κακόν τι προστριβὲν αὐτῆι.
395 c. *ἄφερτον*] ἀφόρητον.
15 **395 d.** *ἐνθείς*] ἐπαγαγών.
396 a. *λιτᾶν*] τῶν εὐχῶν τοῦ τοιούτου ἀνδρός.
396 b. *οὔτις*] οὐδείς.
397. *τὸν*] τὸν ἐπιστρεφόμενον εἰς τὰ τοιαῦτα.
398 a. *φῶτ'*] ἄνδρα.
20 **398 b.** *καθαιρεῖ*] καταβάλλει.
399. *οἷος*] ὥσπερ ἦν δέον εἰπεῖν.
400. *Ἀτρειδῶν*] τῶν.
401 a. *ἤισχυνε*] κατήισχυνε.
401 b. *ξενίαν*] φιλικήν.
25 **402 a.** *κλοπαῖσι*] ἁρπαγαῖς.
402 b. *γυναικός*] τῆς Ἑλένης.
403 a. *στροφὴ ἑτέρα κώλων ιζ'.*
403 b. *λιποῦσα*] ἡ Ἑλένη.
403 c. *ἀστοῖσιν*] τοῖς ἑαυτῆς πολίταις.
30 **403 d.** *ἀσπίστορας*] δι' ἀσπίδων καὶ ἄλλων ὅπλων γινομένους.
404 a. *κλόνους*] ταραχάς, μάχας.
404 b. *λογχίμους*] διὰ λόγχης γινομένους.
405 a. *ναυβάτας*] διὰ νεῶν γινομένους.
405 b. *ὁπλισμοὺς*] καθοπλισμούς.
35 **406 a.** *ἴαμβος.*
406 b. *ἀντίφερνον*] ἤγουν ἀντὶ προικὸς φθορὰν καὶ ἀπώλειαν κομίσασα.
407 a. *βέβακεν*] διῆλθε.
407 b. *ῥίμφα*] εὐκόλως.

407c. *πυλᾶν*] *τῶν τῆς Τροίας.*
408a. *ἄτλητα*] *ἤγουν ἀτόλμητα τολμήσασα.*
408b. *ἔστενον*] *ἐθρήνουν οἱ προφῆται.*
409a. *τόδ'*] *ἤγουν τὸ γεγονός.*
409b. *ἐννέποντες*] *λέγοντες.* 5
409c. *δόμων*] *ἤγουν τῆς πόλεως.*
409d. *προφῆται*] *οἱ μάντεις.*
410a. *ἰὼ*] *ὦ.*
410b. *ἰὼ*] *ὦ.*
410c. *πρόμοι*] *πρόμαχοι, ἄρχοντες.* 10
411a. *ἰὼ*] *ὦ.*
411b. *λέχος*] *κοίτη.*
411c. *στίβοι*] *ὁδοί, ἤγουν τρόποι δι' ὧν ἐδείκνυτο ἡ πρὸς τὸν ἄνδρα φιλία.*
412a. *πάρεστι*] *ἡ Ἑλένη.* 15
412b. *πάρεστι*] *ἰδεῖν αὐτήν.*
412c. *ἄτιμος*] *πολύτιμος.*
412d. *ἀλοίδορος*] *οὐ γὰρ λοιδοροῦμεν αὐτὴν οὕτως ἀπάρασαν.*
413a. *ἄδιστος*] *γλυκεῖα.*
413b. *Ἀφεμένων ἡμῶν τῆς σιγῆς, ὅ ἐστι καὶ ἀφισταμένων τοῦ σιγᾶν,* 20 *τουτέστι καὶ παρρησιαζομένων καὶ φθεγγομένων τι διὰ τὸ μὴ παρεῖναι τὴν δέσποιναν, ὅμως τῆι παλαιᾶι αἰδοῖ σώζομεν αὐτῆς τὴν παρουσίαν καὶ πάρεστιν ἡμῖν ἰδεῖν ἡδίστη καὶ πολύτιμος καὶ ἀλοίδορος, ἤγουν νομίζομεν ἔτι συνεῖναι ἡμῖν αὐτὴν καὶ τῆς παρ' ἡμῶν τιμῆς ἀπολαύειν.*
413c. *ἀφεμένων*] *τῆς σιγῆς.* 25
413d. *ἰδεῖν*] *ὥστε.*
413e. *ἰδεῖν*] *αὐτὴν τινά.*
414a. *πόθωι*] *τῶι φίλτρωι τῶι πρὸς ἐκεῖνα.*
414b. *ὑπερποντίας*] *ἤγουν τῆς ὑπεράνω διελθούσης τοῦ πόντου.*
415a. *φάσμα*] *τὸ τῆς Ἑλένης.* 30
415b. *δόξει*] *τῶι ἀνδρὶ αὐτῆς.*
415c. *ἀνάσσειν*] *ἄρχειν, ἤγουν συνεῖναι αὐτῶι.*
416a. *ὡρ(αῖον).*
416b. *κολοσσῶν*] *ἤγουν τῶν ἀγαλμάτων τουτέστι τῶν εὐειδῶν γυναικῶν.* 35

17 cf. sch. uet. 412

21 *φθεγγομένων* Vict. *φεγγομένων* **T**

417. *ἔχθεται*] *μισεῖται· ἔχων γὰρ ταύτην οὐκ οἶδεν ὅσον κέκτηται ἀγαθόν.*
418 a. *ὀμμάτων*] *ἤγουν μὴ ὁρωμένης ἐκείνης.*
418 b. *ἐν ἀχηνίαις*] *ταῖς ἀπορίαις. ἐκ τοῦ ἀχήν, ὁ πτωχός, ὁ μὴ ἔχων* 5 *δηλονότι.*
419 a. *ἔρρει*] *ἐφθάρη.*
419 b. *Ἀφροδίτα*] *τέρψις, ἐκ τοῦ ὁρᾶν γὰρ ὁ ἔρως.*
420 a. *ἀντιστροφὴ κώλων ιζ'.*
420 b. *ὀνειρόφαντοι*] *ἐν ὀνείροις φαινόμεναι.*
10 **420 c.** *πενθήμονες*] *ἤγουν λυπηραί, πένθους αἴτιαι.*
421. *δόξαι*] *φαντασίαι.*
422 a. *ἡμέτερον + μάταιον γάρ ἐστι, φησίν, εὖτ' ἂν καὶ ὁπηνίκα δοκοῦντός τινος ὁρᾶν ἐν ὕπνοις ἀγαθὰ καὶ μονονουχὶ ταῖς χερσὶ κατέχειν αὐτὰ ἡ ὄψις καὶ ἡ φαντασία ἐκείνη παραχρῆμα βέβηκε καὶ ἀπέπτη* 15 *παραλλάξασα διὰ τῶν χειρῶν, ἤγουν διελθοῦσα διαμέσον τῶν χειρῶν, ἐν πτεροῖς ὀπαδοῖς καὶ ἀκολούθοις τοῖς κελεύθοις τοῦ ὕπνου, τουτέστιν ἀκολουθήσασα τῆι ὁδῶι τοῦ ὕπνου, ἤγουν σὺν τῶι ὕπνωι καὶ αὐτὴ ἀποπτᾶσα. δέον δὲ οὕτως ἐπαγαγεῖν τὴν ἀπόδοσιν· εὖτ' ἂν δοκοῦντός τινος ὁρᾶν τι τόδε γένηται, ὁ δὲ δ ο κ ῶ ν εἰπὼν καὶ καινὸν ποιησά-* 20 *μενος τὸ προοίμιον τοῦ νοήματος καινοτέραν ἐπιφέρει καὶ τὴν ἀπόδοσιν.*
422 b. *χάριν*] *δοκῶν γὰρ ὁρᾶν αὐτὴν ἐν ὕπνοις ἥδεται κενὴν ἡδονήν.*
423 a. *ἴαμβος.*
423 b. *μάταν*] *ἤγουν μάταιόν ἐστιν.*
25 **423 c.** *εὖτ' ἂν*] *ὁπηνίκα.*
423 d. *ἐσθλά*] *ἀγαθά.*
423 e. *τις δοκῶν*] *ἤγουν τινὸς δοκοῦντος.*
424 a. *παραλλάξασα*] *διελθοῦσα ἡ ὄψις.*
424 b. *διὰ χερῶν*] *ἤγουν διαμέσον τῶν χειρῶν. δοκεῖ γὰρ ἄντικρυς κρα-* 30 *τεῖν αὐτήν.*
425 a. *βέβακεν*] *ἀπέπτη.*
425 b. *ὄψις*] *ἡ φαντασία.*
425 c. *οὐ μεθύστερον*] *ἀλλὰ παραχρῆμα.*
426 a. *πτεροῖς*] *ἐν.*
35 **426 b.** *ὀπαδοῖς*] *ἀκολούθοις.*

4—5 Hesych. *ἀχηνία* Et. Gen. *ἀχῆνες* E. M. 181, 16 Bekk. I 474, 7 cf. sch. uet. 418 || 7 E. M. 379, 48

426c. *ὕπνου κελεύθοις*] *τῆι ὁδῶι τοῦ ὕπνου· συναφίπταται γὰρ τῶι ὕπνωι ἡ ὄψις.*
427a. *ἡμέτερα* + *τὸ κατ' οἴκους καὶ ἐφ' ἑστίας ἢ ἐκ παραλλήλου εἴρηται, ἢ τὸ μὲν οἴκους νοήσεις διὰ τοὺς ἐν τῶι οἴκωι θεράποντας καὶ θεραπαινίδας· εἰκὸς γὰρ ἦν θρηνεῖν κἀκείνους τὴν τῆς δεσποίνης* 5
ἀπουσίαν. τὸ δὲ ἐφ' ἑστίας διὰ τὸν ἄνδρα αὐτῆς, ἴσως δὲ καὶ διὰ τοὺς παῖδας. ἑστία γάρ ἐστιν ὁ θάλαμος τῶν συζύγων. εἰκὸς γὰρ ἦν τοῦτον ἀεὶ θρηνεῖν ἔρημον τῆς συνεύνου τὴν ἑστίαν καὶ τὴν κλίνην ὁρῶντα.
427b. *τὰ μὲν*] *ἤγουν τὰ μὲν κατὰ τοὺς οἴκους τῆς Ἑλένης.* 10
427c. *ἐφ' ἑστίας*] *ἤτοι τοῦ θαλάμου.*
427d. *ἄχη*] *αἱ λῦπαι.*
428. *ὑπερβατώτερα*] *ἤγουν μείζονα.*
429a. *τὸ πᾶν*] *ἤγουν καθόλου δέ.*
429b. *αἴας*] *γῆς.* 15
429c. *Τῶν συνηγμένων ἀπὸ τῆς Ἑλλάδος ἁπάντων ἑκάστου τοῖς οἴκοις ὀδυνηρὰ πένθησις διαπρέπει.*
429d. *συνορμένοις*] *τοῖς συνορμηθεῖσι.*
430a. *πένθεια*] *ἤγουν πένθησις, θλῖψις.*
430b. *τλησικάρδιος*] *τὴν καρδίαν τήκουσα.* 20
431a. *δόμων*] *τῶν οἴκων.*
431b. *πρέπει*] *ἁρμοδίως ἐστίν.*
431c. *πολλὰ*] *πολλὰ γάρ ἐστι τὰ λυποῦντα τὴν καρδίαν τῶν ἐν τοῖς οἴκοις αὐτῶν.*
432. *πέμψεν*] *ὁ δόμος.* 25
433a. *βροτῶν*] *ἤγουν ἀνδρῶν.*
433b. *τεύχη*] *σκεύη τὴν σποδὸν ἔχοντα· δύναται δὲ καὶ ὅπλα δηλοῦν.*
434. *σποδὸς*] *κόνις τῶν σωμάτων τῶν νεκρῶν.*
435a. *δόμους*] *τοὺς οἴκους.*
435b. *εἰσαφικνεῖται*] *εἰσέρχεται ὑπονοστοῦσα.* 30
437a. *στροφὴ ἑτέρα κώλων ιζ'.*
437b. + *εἰώθασιν οἱ περιλειφθέντες ἐν τοῖς στρατεύμασι κομίζειν εἰς τοὺς οἴκους τῶν ἀπολωλότων ὅσαπερ ἔτι ζῶντες ἐκτήσαντο λάφυρα, πρὸς δὲ καὶ τὴν κόνιν τῶν σωμάτων αὐτῶν ἐν ἀγγείοις. τοῦτο οὖν*

27 cf. Hesych. *τεύχεα*

3 *ἡμέτερα*] sch. 427a. 437b || 19 *θλῆψις* T || 24 *αὐτῶν*] *ὄντων* van Heusde

ἐνταῦθά φησιν ἀλληγορικῶς. ἐπεὶ δὲ ὁ χρυσὸς ἐκ ψηγμάτων ἐκπυρωθέντων συνάγεται καὶ βάρος ἔχει καὶ ζυγοστατεῖται, ὅρα πῶς καὶ οὗτος τὴν τροπὴν διόλου τηρήσας ἐξήνεγκε τὸ νόημα.

437 c. *Χρυσαμοιβός· ὁ καὶ ἀργυραμοιβὸς παρὰ τοῖς ῥήτορσι· τῆς* 5 *αὐτῆς δ' ἀναλογίας ἐστὶ καὶ ὁ ἀλφιταμοιβός. εἴληπται δὲ τὸ νόημα τῶι Αἰσχύλωι ἐκ τῆς κατὰ τὸν Δία Ὁμηρικῆς ζυγοστατήσεως. τὸ βαρὺ δὲ εἴρηται διὰ τὸ βαρύνειν τοὺς φίλους, ἄλλως μέντοι κατὰ τὴν ἀλληγορικὴν τροπὴν βαρὺ διὰ τὸ χρυσοῦν εἶναι.*

437 d. *ση(μείωσαι) ἀλληγορίαν τροπικήν.*

10 **437 e.** *ὁ χρυσαμοιβὸς] ὁ χρυσὸν διδοὺς ἀντὶ σωμάτων. λάφυρα γὰρ εἰς τοὺς οἴκους τῶν ἀποθανόντων κομίζουσιν.*

439. *ταλαντοῦχος] ὁ ζυγοστάτης.*

440. *πυρωθὲν] καυστικὸς γὰρ ὁ πόλεμος.*

441 a. *φίλοισι] ἤγουν τοῖς οἰκείοις τῶν ἀπολωλότων κατὰ τὸν πόλεμον.*

15 **441 b.** *βαρὺ] διὰ τὸν θάνατον τοῦ οἰκείου αὐτῶν.*

442 a. *ψῆγμα] ἤγουν χρυσοῦ ψήγματα τουτέστι χρυσόν.*

442 b. *ἀντήνορος] τῆς ἀντὶ τῶν ἀνδρῶν πεμπομένης.*

443 a. *ἴαμβος.*

443 b. *σποδοῦ] κόνεως.*

20 **443 c.** *γεμίζων] πληρῶν.*

444. *λέβητας] τὰ ἀγγεῖα καταχρηστικῶς.*

445—448. *ὅμοια.*

445. *στένουσι] στενάζουσι, θρηνοῦσιν οἱ φίλοι τῶν ὀλωλότων ἐπαινοῦντες ἐκείνους.*

25 **446 a.** *ὡς] ὅτι.*

446 b. *ἴδρις] ἐπιστήμων, ἔμπειρος ἦν.*

447. *ἐν φοναῖς] ἐν ἀλληλοφονίαις.*

448 a *διὰ] ἀντὶ μιᾶς.*

448 b. *διὰ] ἤγουν ἕνεκα.*

30 **448 c.** *γυναικός] τῆς Ἑλένης.*

449—451. *ὅμοια.*

449 a. *τάδε] ὅτι δι' ἀλλοτρίαν ἀπώλετο γυναῖκα.*

449 b. *σῖγα] σιωπηλῶς.*

449 c. *βαΰζει] βοᾶι μετὰ ὀργῆς δίκην κυνός.*

35 **450 a.** *φθονερὸν] λυπούμενοι γὰρ ἴσως φθονοῦσιν αὐτοῖς καὶ ἐπαρῶνται.*

4—5 sch. Ar. Nub. 640 || 13 sch. Ar. Pax 310

450b. *ὑπ' ἄλγος*] *ἤτοι μέμψις ὑφέρπει καὶ κρυφίως ἐπέρχεται.*
451. *προδίκοις*] *τοῖς δικαίοις ἤτοι τοῖς δικαίως κατὰ τῶν ἐχθρῶν ἐστρατευκόσιν.*
452a. *οἱ*] *τινὲς τῶν ὀλωλότων.*
452b. *Περὶ τεῖχος· ὃ ἐποίησαν ἐν τῆι Τροίαι. βέλτιον δὲ αὐτῆς τῆς* 5
Τροίας τὸ τεῖχος εἰπεῖν. τὸ δὲ εὔμορφοι πρὸς πλείονα οἶκτον προσέθηκεν.
453. *θήκας*] *τάφους.*
454a. *εὔμορφοι*] *ὄντες· ἔτι ζῶντες δηλονότι.*
454b. *κατέχουσιν*] *οἰκοῦσιν.* 10
454c. *ἐχθρῶς*] *ἐχθρωδῶς διακειμένους περὶ αὐτήν.*
456a. *ἀντιστροφὴ κώλων ιζ'.*
456b. *Βαρεῖα δ' ἀστῶν· ἤγουν ὀργίλως ὑπὸ τῶν πολιτῶν σκώπτεται ὁ Ἀγαμέμνων καὶ ἀποδίδωσί τι χρέος τῆς δημοσίας κατάρας.*
456c. *βαρεῖα*] *ἐπαχθής ἐστι.* 15
456d. *ἀστῶν*] *τῶν πολιτῶν.*
456e. *φάτις*] *ἡ φήμη.*
456f. *σὺν κότωι*] *μετ' ὀργῆς γινομένη.*
457a. *δημοκράτου*] *τῆς δημοσίας.*
457b. *τίνει*] *δίδωσι.* 20
458. *μένει*] *ἀναμένει.*
460a. *μέριμνα*] *ἡ φροντίς.*
460b. *νυκτηρεφές*] *ἀφανῶς ἐπελθόν.*
461a. *ὡρ(αῖον).*
461b. *τῶν πολυκτόνων*] *τῶν ὑπὸ πολλῶν κτανθέντων.* 25
461c. *οὐκ ἄσκοποι*] *ἀλλ' ἐπισκοπῆς αὐτοὺς ἀξιοῦσιν.*
461d. *ἄσκοποι*] *ἀπρόοπτοι.*
462a. *ἴαμβος.*
462b. *θεοί*] *οἱ.*
462c. *κελαιναὶ*] *αἱ μέλαιναι, αἱ ἀφανεῖς.* 30
463a. *χρόνωι*] *ἐν.*
463b. *χρόνωι*] *διὰ χρόνου.*
463c. *ἡμέτερα + τὸν τυχηρὸν ὄντα, φησίν, ἄνευ δίκης ἤτοι τὸν ἀδίκως εὐτυχήσαντα, οἷος ἦν ὁ Πάρις, διὰ χρόνου αἱ Ἐριννύες ἀμαυροῦσι καὶ ἀφανίζουσιν ἐν παλιντυχῆι τριβῆι βίου, ἤγουν ἐν ἐναντίαι καὶ δυστυχεῖ* 35
ζωῆι. ἐν τοῖς ἀίστοις δὲ καὶ ἀφανέσι τελέθοντος καὶ ὑπάρχοντος, ἤγουν

33 *ἡμέτερα*] sch. 463c. 472a

μετὰ τῶν ἀφανῶν ταχθέντος, τουτέστιν ἀμαυρωθέντος καὶ ἀφανισθέντος, οὐδεὶς βοηθὸς ἐπιφαίνεται αὐτοῦ. ὁ γὰρ ὑπὲρ τὸ μέτρον εὐτυχῶν σφάλλεται.

5 **464–470.** *ὅμοια.*
464. *τυχηρὸν] τὸν εὐτυχῆ ἄνευ δίκης, ἤτοι τὸν ἀδίκως εὐτυχήσαντα ὡς τὸν Πάριν.*
465a. *παλιντυχῆι] ἐναντίαι, δυστυχεῖ.*
465b. *τριβᾶι] διατριβῆι, ἐκτάσει.*
466a. *τιθεῖσ'] ποιοῦσιν.*
10 **466b.** *ἀμαυρόν] ἀφανῆ.*
466c. *ἐν δ' ἀίστοις] ἀφανέσιν, ἤγουν ἀμαυρωθέντος καὶ ἀφανισθέντος.*
467a. *τελέθοντος] ὑπάρχοντος ἐκείνου.*
467b. *οὔτις] ἐστί.*
467c. *ἀλκά] βοήθεια, ἤγουν οὐδεὶς τοῖς τοιούτοις βοηθεῖ.*
15 **468a.** *γνώ(μη).*
468b. *δ'] γάρ.*
468c. *ὑπερκότως] ἤγουν τὸ λίαν ἁπλῶς.*
468d. *κλύειν] ἀκούειν.*
468e. *εὖ] καλῶς.*
20 **469a.** *βαρύ] αἱ γὰρ εἰς ἄκρον εὐεξίαι σφαλεραί.*
469b. *ὄσσοις] τοῦ Διός.*
470. *Διόθεν] ἤγουν ἄνωθεν ἐφορῶντες οἱ τοῦ Διὸς ὀφθαλμοὶ τὴν τιμωρίαν ἐκπέμπουσιν.*
471a. *κρίνω] λογίζομαι.*
25 **471b.** *ἄφθονον] πολύν.*
471c. *ὄλβον] εὐδαιμονίαν. τοῦτο δηλονότι ὃ μέλλει ἐρεῖν.*
472a. + *μήτ' εἴην· ἤγουν μήτ' αὐτὸς ἄλλων πόλιν πορθήσαιμι μήτε κατίδοιμι βίον καὶ ζωὴν ὑπ' ἄλλων ἁλοὺς καὶ κρατηθείς. τουτέστι μὴ δουλικὴν κατίδοιμι ζωὴν κρατηθεὶς ὑφ' ἑτέρων.*
30 **472b.** *πτολιπόρθης] ἤγουν μήτ' αὐτὸς ἄλλων πόλιν πορθήσαιμι.*
473a. *αὐτὸς] ἐγώ.*
473b. *ἁλοὺς] κρατηθείς.*
474. *βίον] ζωήν.*
475a. *ἐπῳδὸς κώλων ιε'.*
35 **475b.** *εὐαγγέλου] ἀγαθὰ μηνύοντος ἀγγέλου.*
476a. *διήκει] διέρχεται.*
476b. *θοὰ] ταχεῖα.*
476c. *βάξις] φήμη τοῦ πυρός.*

477. *ἐτητύμως*] *ἀληθῶς.*
478—479. *ἴαμβοι.*
478a. *θεῖον*] *ἐκ θεοῦ.*
478b. *ἐστὶ*] *τοῦτο.*
478c. *Τὸ ψύθος σύστοιχον τῶι ψεύδει ὡς καὶ τὸ ψυδρόν· ὅτι δὲ συγ-* 5
γενῆ τὸ δ καὶ τὸ θ δῆλον. προϋπόκειται δὲ τὸ ψεῦδος.
478d. *ψύθος*] *ἤτοι ψεῦδος.*
479a. *ὧδε*] *οὕτως.*
479b. *παιδνὸς*] *ἤγουν ψεδνός.*
479c. *φρενῶν κεκομμένος*] *ἀφαιρέσει τοῦ σ διὰ τὸ μέτρον ὅ ἐστι ψιλὸς* 10
τὸν νοῦν, ἤγουν παράφρων.
479d. *ὡρ(αῖον).*
480a. *Οἱ ἀγαθόν τι ἐλπίσαντες, εἶτα τούτου ἀποτυχόντες διπλασίαι*
περιπίπτουσιν ἀθυμίαι κατὰ Μένανδρον.
480b. *φλογὸς*] *ὥστε.* 15
480c. *παραγγέλμασιν*] *μηνύμασι.*
481a. *πυρωθέντα*] *ἤγουν τερφθέντα ἐκεῖνον.*
481b. *καρδίαν*] *τήν.*
482a. *ἀλλαγᾶι*] *ἤγουν ἐναλλαγὴν λαβόντος τοῦ λόγου, τουτέστι ψευ-*
δοῦς φανέντος. 20
482b. *καμεῖν*] *ἤτοι λυπηθῆναι.*
483a. *Ἴσως τὴν κερκίδα ἢ τὸν ἄτρακτον λέγει γυναικὸς αἰχμήν,*
εἰ μή που σκώπτει τὴν Κλυταιμνήστραν διὰ τὰ ἱστορούμενα κατ᾽ αὐ-
τῆς, τὸν πέλεκυν λέγων, δι᾽ οὗ καθεῖλε τὸν Ἀγαμέμνονα.
483b. *γυναικὸς αἰχμᾶι*] *ἤτοι τῆι Κλυταιμνήστραι πρέπει.* 25
483c. *αἰχμᾶι*] *ξίφει.*
483d. *πρέπει*] *ἁρμόζει.*
484a. *φανέντος*] *ἀγαθοῦ.*
484b. *χάριν*] *ἐπαινέσαι χάριν, ἤγουν εὐφρανθῆναι.*
485a. *πιθανὸς*] *εὔπειστος.* 30
485b. *ἄγαν*] *λίαν.*
485c. *Ὁ θῆλυς ὅρος ἤγουν περιφραστικῶς ἡ γυνή, ὡς ταὐτὸν ὂν γυναῖ-*
κα εἰπεῖν καὶ ὅρον αὐτῆς ἐκθεῖναι.
485d. *θῆλυς ὅρος*] *ἤγουν αἱ γυναῖκες περιφραστικῶς.*

5—6 cf. Hesych. *ψύθος* E. M. 819, 13 || 7 cf. sch. uet. 478 || 24 cf. Eur. Troad. 361

9 *ψαιδνός* T^{ac} || 13—14 Menand. fr. 815 Koerte || 23 *σκόπτει* T

485c. *γνώ(μη).*
486a. *ἐπινέμεται] διατελεῖ.*
486b. *ταχύπορος] εὐμετάβολος.*
487. *ταχύμορον] ταχέως φθειρόμενον.*
5 **488a.** *Τὸ φημιζόμενον ἀγαθὸν ὑπὸ τῶν γυναικῶν ἀνύπαρκτόν ἐστι καὶ ταχέως φθειρόμενον καὶ οὐκ ἐπὶ πολὺ διαμένον.*
488b. *γυναικογήρυτον] τό.*
488c. *γυναικογήρυτον] ἤγουν τὸ λεγόμενον ὑπὸ τῶν γυναικῶν.*
488d. *ὄλλυται] φθείρεται.*
10 **489a.** *ἡμέτερα + τάχ' εἰσόμεσθα· αἱ συστηματικαὶ αὗται περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ρϛβ' ὧν τελευταῖος· τοσαῦτ' ἀκούσας ἴσθι τ' ἀληθῆ κλύειν. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῶι τέλει πάντων κορωνὶς εἰσιόντος τοῦ χοροῦ.*
489b. *εἰσόμεσθα] γνωσόμεθα.*
15 **489c.** *φαεσφόρων] ἀντὶ τοῦ φῶς φερουσῶν.*
490. *παραλλαγὰς] τὰς διαδοχάς.*
491a. *ἀληθεῖς] εἰσίν.*
491b. *ὀνειράτων] ἀπατηλὰ γὰρ τὰ ὀνείρατα.*
492a. *τερπνὸν] εὐφραντόν.*
20 **492b.** *Ἐφήλωσε· ἠπάτησε, παρὰ τὸν φήληκα, ὅς ἐστι σῦκον διαχάσκον πρὸ τοῦ πεπανθῆναι. ἀσύνηθες δὲ τὸ φηλῶ φηλώσω, οὗ χρῆσις καὶ παρὰ Λυκόφρονι, τὸ δὲ κοινὸν φηλήσω, ἐξ οὗ καὶ ὁ φηλήτης ἐν δυσὶν η. ὁ δέ γε παρ' Ἡσιόδωι φιλήτης διὰ τοῦ ι ἔχει τὴν ἄρχουσαν κατὰ τοὺς παλαιοὺς σημαίνων τὸν κλέπτην ὡς ἀπὸ τοῦ ὑφελέσθαι.*
25 **492c.** *ἐφήλωσε] ἠπάτησε, φηλῶ γὰρ ἀπατῶ.*
493. *κατάσκιον] ἐστεμμένον.*
494. *κάσις] ἀδελφή.*
495a. *ξύνουρος] ἡ συνακολουθοῦσα αὐτῶι.*
495b. *διψία] ἤτοι ξηρά.*
30 **496a.** *ὡς] ὅτι.*
496b. *ἄναυδος] ἄφωνος κατὰ τοὺς φρυκτούς.*
496c. *δαίων] καίων.*

20—21 *ἠπάτησε — πεπανθῆναι]* Et. Gen. *φηλώσεις* E. M. 791, 33 sch. A. R. III 983 sch. Ar. Pax 1165 || **21** *φηλῶ]* sch. Lycophr. 785 Eust. 194, 30. 781, 11 || **23—24** Or. 159, 27 Et. Gen. *φιλήτης* E. M. 794, 1 Et. Gud. 552, 43 St. || **25** cf. sch. uet. 492 || **29** cf. sch. uet. 495

10 *ἡμέτερα]* sch. 489a. 498a || **12** u. 680 || **15** *ἀντὶ τὸ* **T** || **22** Lycophr. 785 || **23** Hes. Op. 375

496d. *φλόγα*] *πυρσόν.*
497a. *ὀρείας*] *ὀρεινῆς.*
497b. *σημανεῖ*] *δηλώσει.*
497c. *καπνῶι*] *ἐν.*
498a. + *ὅρα τὴν σύνταξιν· ἢ γὰρ εἰπὼν καὶ δέον ἕτερον ἢ ἐπαγαγεῖν,* 5
ἀφεὶς τοῦτο καινότερον τὸν λόγον ἐποίησε σχηματίσας ἑτέρως. τὸ δὲ ἑξῆς τοῦτο βούλεται· τὸ πρὸς τοῖς φανεῖσι καλοῖς ἕτερον φανὲν ἀγαθὸν προσθήκη καλοῦ τυγχάνοι ἄν.
498b. *μᾶλλον*] *πλέον.*
498c. *ἐκβάξει*] *ἐξείποι.* 10
499a. *τὸν ἀντίον*] *τὸν ἐναντίον τοῦ χαίρειν ἤγουν τὸν λυπηρόν.*
499b. *ἀποστέργω*] *ἀποβάλλομαι.*
500a. *προσθήκη*] *ἀγαθοῦ δηλονότι.*
500b. *πέλοι*] *ὑπάρχοι ἄν.*
501a. *ὡρ(αῖον).* 15
501b. *ἄλλως*] *καὶ οὐχ ὡς σὺ εἴρηκας.*
502. *καρποῖτο*] *καρπώσαιτο, κτήσαιτο.*
503a. *Τινὲς μέμφονται τῶι ποιητῆι ὅτι αὐθήμερον ἐκ Τροίας ποιεῖ τοὺς Ἕλληνας ἥκοντας.*
503b. *ἰὼ*] *ὦ.* 20
503c. *οὖδας*] *ἔδαφος.*
504a. *σε*] *εἰς σέ.*
504b. *φέγγει*] *ἡμέραι.*
504c. *ἀφικόμην*] *ἦλθον.*
505. *Ἡ λέξις ἐκ μεταφορᾶς τῶν ἀγκυρῶν, ὧν πολλῶν ῥαγεισῶν εἰς* 25
τὸ ὕδωρ μία τις περισώζει τὴν ναῦν.
506. *ηὔχουν*] *ἐθάρρουν.*
510a. *τόξοις*] *ἐν.*
510b. *ἰάπτων*] *πέμπων.*
511a. *παρὰ Σκάμανδρον*] *ἤτοι κατὰ τὴν Τροίαν.* 30
511b. *ἦλθες*] *ἡμῖν.*
511c. *ἀνάρσιος*] *ἀναιρετικός.*
512a. *ἴσθι*] *ὕπαρχε.*
512b. *ἀπαγώνιος*] *ἀπόμαχος.*

34 cf. sch. uet. 512

14 *ὑπάρχοι* van Heusde *ὑπάρχει* T

513 a. *ἄναξ*] *ὦ*.
513 b. *ἀγωνίους*] *τοὺς ἐφόρους τῶν ἀγώνων*.
514 a. *προσαυδῶ*] *ἐπικαλοῦμαι*.
514 b. *τιμάορα*] *βοηθόν*.
5 **515.** *κηρύκων σέβας*] *ἤγουν ὃν τιμῶσιν οἱ κήρυκες*.
516 a. *ἥρως*] *ἥρωας*.
516 b. *εὐμενεῖς*] *ἤγουν εὐμενῶς*.
517 a. *δέχεσθαι*] *ὥστε*.
517 b. *τὸν λελειμμένον*] *τὸν ὑπολειφθέντα τοῦ πολέμου*.
10 **518 a.** *ἰὼ*] *ὦ*.
518 b. *μέλαθρα*] *οἰκήματα*.
518 c. *φίλαι*] *προσφιλεῖς*.
519 a. *θᾶκοι*] *θρόνοι*.
519 b. *ἀντήλιοι*] *οἱ εἰς ἀνατολὴν ὁρῶντες*.
15 **520.** *ἦ*] *ὄντως, ἴσως*.
521 a. *δέξαισθε*] *ἄν*.
521 b. *κόσμωι*] *ἐν*.
521 c. *χρόνωι*] *διὰ πολλοῦ χρόνου*.
522. *εὐφρόνηι*] *νυκτί*.
20 **524 a.** *νιν*] *αὐτόν*.
524 b. *ἀσπάσασθε*] *προσείπατε*.
524 c. *πρέπει*] *ἁρμόζει*.
525 a. *κατασκάψαντα*] *πορθήσαντα*.
525 b. *τοῦ δικηφόρου*] *τοῦ τὴν δίκην φέροντος*.
25 **526 a.** *ἡμέτερον* + *Διὸς μακέλληι· ἤτοι σπάθηι. μάκελλα δὲ λέγεται κυρίως ἡ τζάπη ἀπὸ τοῦ μονόκελλος εἶναι, ὡς δίκελλα ἡ δύο ἔχουσα σκέλη. δοκεῖ γάρ μοι ἀπὸ τοῦ σκέλους ἔχειν τὴν σύνθεσιν, διπλασιαζομένου τοῦ λ διὰ τὸ μέτρον*.
526 b. *μακέλληι*] *ἤτοι τῆι σπάθηι*.
30 **526 c.** *τῆι*] *ἧιτινι*.
526 d. *κατείργασται*] *κατέσκαψε*.
526 e. *πέδον*] *τό*.
526 f. *πέδον*] *τὴν γῆν*.
527 a. *ἄιστοι*] *ἀφανεῖς*.
35 **527 b.** *ἱδρύματα*] *ἀγάλματα ἢ ναοί*.

4 cf. sch. uet. 514 || **14** cf. sch. uet. 519 || **25—28** etymologia fort. a Triclinio ipso excogitata || **29** cf. sch. uet. 526

528a. *σπέρμα] ἢ τὰ γεννήματα ἢ καὶ οἱ ἄνθρωποι.*
528b. *ἐξαπόλλυται] ἐφθάρη.*
528c. *χθονός] γῆς.*
529a. *τοιόνδε] τοιοῦτον.*
529b. *Τροίαι] τῆι.* 5
529c. *περιβαλὼν] περιθείς.*
529d. *ζευκτήριον] ἤτοι ζυγόν.*
530a. *ἄναξ] ὁ.*
530b. *πρέσβυς] ὁ.*
530c. *πρέσβυς] ἤγουν ὁ Ἀγαμέμνων.* 10
530d. *εὐδαίμων] εὐτυχής.*
531a. *ἥκει] ἔρχεται.*
531b. *τίεσθαι] τιμᾶσθαι.*
531c. *ἀξιώτατος] λίαν ἄξιος.*
532a. *Ἀπὸ κοινοῦ τὸ οὔτε ληπτέον καὶ εἰς τὸ Πάρις· συνυπακούεται* 15 *γὰρ ἐκ τοῦ ἐπαγομένου. τὸ δὲ τὸ δρᾶμα τοῦ πάθους πλέον, τοῦτο δηλοῖ ὡς οὐ πλέον δέδρακεν ἢ πέπονθεν.*
532b. *Πάρις] οὔτε γὰρ ὁ.*
532c. *συντελὴς] ἡ συντελέσασα καὶ συμπράξασα αὐτῶι.*
533a. *ἐξεύχεται] καυχᾶται.* 20
533b. *τὸ δρᾶμα] ἤγουν ὅτι πλέον ἔδρασεν ἢ πέπονθεν.*
534a. *ὀφλὼν] χρεωστῶν.*
534b. *δίκην] τιμωρίαν.*
535a. *τοῦ ῥυσίου] ἤγουν τοῦ ῥύσασθαι τοὺς Τρῶας.*
535b. *ἥμαρτε] ἀπέτυχεν.* 25
536a. *Ἔθρισεν· ἐθέρισεν, ἔκειρεν, κοινῶς δὲ ἔθριξεν ὤφειλεν, ἀφ' οὗ καὶ ἡ θρίξ. ὡς καὶ Εὐριπίδης· ἴδετε παρ' ἄκρας ὡς ἀπέθριξε τρίχας.*
536b. *ἔθρισεν] ἐθέρισεν, ἀπέκειρεν.*
537a. *διπλᾶ] ἤγουν αὐτοὶ καὶ ἡ πόλις.* 30
537b. *ἔτισαν] ἀπέδωκαν.*
537c. *Πριαμίδαι] οἱ.*
537d. *ἁμάρτια] τὰ ἁμαρτήματα, τὸν μισθὸν τῆς ἁμαρτίας.*

24 cf. sch. uet. 535 ‖ 26—28 cf. Et. Gen. *ἔθρισαν* E. M. 319, 25 ‖ 29 cf. sch. uet. 536 ‖ 33 cf. sch. uet. 537

27—28 Eur. Or. 128

538. *κῆρυξ*] *ὦ.*
539. *ἀντερῶ*] *ἀντείπω, ἀντιλέγω.*
540 a. *ἔρως*] *πόθος ὤφειλεν. πόθος γὰρ ἐπὶ ἀπόντων λέγεται.*
540 b. *ἐγύμνασεν*] *ἐπαίδευσεν, ἐδίδαξεν.*
5 **541 a.** *ὄμμασιν*] *ἐν.*
541 b. *χαρᾶς*] *ἤγουν ἐπὶ τῆι ἀνεκλαλήτωι χαρᾶι.*
542 a. *Ἐρωτικὴν εἴχετε, φησίν, νόσον τερπνὴν ἐπεὶ εἴχετε καὶ τοὺς ἀντερῶντας.*
542 b. + *ἡμέτερον. τῶν γὰρ ἄλλων νόσων λυπηρῶν οὐσῶν αὕτη μόνη*
10 *τερπνή ἐστι. μὴ νοήσαντος δὲ τοῦτο τοῦ κήρυκος ἐπάγει τὴν λύσιν, ἑξῆς λέγουσα· εἰ ἐτρώθης τῶι ἔρωτι ἡμῶν τῶν ἀντερώντων οἶδας ὃ λέγω. πρὸς ὃ πάλιν οὗτος ἐπιφέρει· λέγεις τήνδε τὴν γῆν ποθεῖν τὸν στρατὸν ποθοῦντα καὶ αὐτὸν αὐτήν, τουτέστι λέγεις ὡς ἐπόθει ἡ γῆ τὸν στρατὸν καὶ ἀντεποθεῖτο ὑπ᾽ αὐτοῦ.*
15 **542 c.** *τερπνῆς*] *εὐφραντῆς.*
542 d. *ἦτε*] *ὑπήρχετε.*
542 e. *τῆσδ᾽*] *τῆς ἐρωτικῆς.*
542 f. *ἐπήβολοι*] *μέτοχοι.*
543. *δεσπόσω*] *κύριος γενήσομαι καὶ κατανοήσω τοῦτον.*
20 **544 a.** *τῶν ἀντερώντων*] *ἡμῶν δηλονότι.*
544 b. *ἱμέρωι*] *ἔρωτι.*
544 c. *πεπληγμένος*] *τετρωμένος.*
545. *ποθεῖν*] *ἤγουν λέγεις ὅτι ἐπόθει ἡ γῆ τὸν στρατόν.*
546 a. *ὡς*] *ὥστε.*
25 **546 b.** *ἀμαυρᾶς*] *κρυφαίας δι᾽ Αἴγισθον.*
546 c. *ἀναστένειν*] *στενάζειν.*
547 a. *πόθεν*] *μίσους γὰρ ἦν τὸ στενάζειν ὑπὲρ ἐκείνου.*
547 b. *στύγος*] *μῖσος.*
548. *σιγᾶν*] *σιωπῶ, φησίν, ἵνα μὴ βλαβῶ.*
30 **549 a.** *κοιράνων*] *τῶν βασιλέων.*
549 b. *ἔτρεις*] *ἐφοβοῦ.*
550. *Ὧν ἐστι τὸ εἰρημένον ὑπὸ σοῦ, τὸ* τεθνάναι δ᾽ οὐκέτ᾽ ἀντερῶ θεοῖς.
551. *εὖ γὰρ*] *ὥστε καὶ εἴ τινι συμβαίη θάνατος, εὖ ἂν ἔχοι καὶ χάρις*
35 *ἂν νομισθείη.*
552. *εὐπετῶς*] *ἤγουν καλῶς πεσόντα.*

3 Amm. 189 cf. Nickau ad loc.

553a. *ὡρ(αῖον).*
553b. *κἀπίμομφα] μεμπτὰ λέξειεν.*
553c. *πλὴν] ἄνευ.*
554a. *ἀπήμων] ἀβλαβής.*
554b. *δι' αἰῶνος] τὸν διηνεκῆ.* 5
555a. *μόχθους] ἐν ταῖς μάχαις.*
555b. *δυσαυλίας] διὰ τὸ ὑπαίθρους αὐλίζεσθαι καὶ διάγειν.*
556a. *Σπαρνάς· σπανίους. καὶ τούτου γὰρ οὐ συνεχῶς ἀπηλαύομεν. τὸ δὲ παρήξεις ἀντὶ τοῦ παραδρομὰς ἐπὶ τοῦ καταστρώματος τῶν νεῶν.* 10
556b. *σπαρνὰς] σπανίους.*
556c. *παρήξεις] παραδρομάς.*
556d. *κακοστρώτους] δυσκόλους.*
557. *οὐ λαχόντες] ἤγουν ποῖον δὲ μέρος τῆς ἡμέρας οὐκ ἐλάχομεν στένοντες.* 15
558a. *χέρσωι] ἐν.*
558b. *προσῆν] ἐμίσει γὰρ ὁ γρηγορῶν τὸν ὑπνοῦντα.*
558c. *στύγος] μῖσος.*
559a. *εὐναὶ] κοῖται, φρουραί.*
559b. *ἦσαν] ἡμῖν.* 20
559c. *δηίων] τῶν πολεμίων ἤτοι τῶν Τρώων.*
559d. *πρὸς] ἐν.*
560. *λειμώνιαι] λειμῶνα λέγει νῦν τὸ κοινῶς λιβάδιον.*
561a. *κατεψέκαζον] κατεδρόσιζον.*
561b. *ἔμπεδον] τὸ ἑδραῖον ἤτοι τὸ περιβεβλημένον ἡμῖν κάλλος.* 25
562a. *ἐσθημάτων] τῶν.*
562b. *ἐσθημάτων] τῶν ἐνδυμάτων.*
562c. *τιθέντες] ποιοῦντες.*
562d. *ἔνθηρον] ὀρθίαν δίκην θηρῶν.*
562e. *τρίχα] ἡμῶν.* 30
563. *οἰωνοκτόνον] ὁ γὰρ σφοδρὸς χειμὼν καὶ τὰ κτήνη καὶ τοὺς ὄρνιθας κτείνει.*
564a. *ἄφερτον] ἀφόρητον.*
564b. *Ἰδαία] ἡ ἐν Ἴδηι γινόμενον.*

8 cf. sch. uet. 556 || 11 cf. sch. uet. 556 || 23 Eust. 1358, 54 Thom. Mag. 223, 15

565a. *ἡμέτερον + ὃ ποιεῖν εἰώθασιν ἄνθρωποι ἐν μεσημβρίαι — πεσόντες γὰρ καθεύδουσιν ἐπὶ νηνεμίαν ἔχουσι τόποις, τὸ ἐκ τῆς ἀκτῖνος τοῦ ἡλίου θάλπος ἐκκλίνοντες — τοῦτο οὗτος ἐπὶ τὸν πόντον μετήνεγκε, χάριν τῶι λόγωι περιτιθεὶς καὶ ἔμψυχον αὐτὸν ἐργαζόμε-* 5 *νος.*

565b. *ὡρ(αῖον).*

565c. *θάλπος] καῦμα.*

565d. *εὖτε] ὁπηνίκα.*

566a. *ἀκύμων] ἀτάραχος.*

10 **566b.** *νηνέμοις] νηνεμίαν ἐχούσαις.*

566c. *εὕδοι] ἡσυχάζει.*

567a. *δεῖ] πρέπει.*

567b. *παροίχεται] παρῆλθεν.*

568. *παροίχεται] παρῆλθεν.*

15 **569.** *μέλειν] ἐν φροντίδι ἔχειν.*

570a. *τί] χρὴ κατὰ συνεκδοχήν.*

570b. *ἀναλωθέντας] τοὺς φθαρέντας.*

570c. *ἐν ψήφωι] ἤγουν τί δεῖ ψηφίζεσθαι περὶ τῶν ἀπολωλότων;*

571a. *τύχης] ἕνεκα.*

20 **571b.** *Ἐπὶ τῆι ἀποβολῆι τῶν ἀπολλυμένων δεῖ τὸν ζῶντα ἀλγεῖν καὶ πάλιν ἐπὶ ταῖς εὐποτμίαις χαίρειν.*

572a. *συμφοραῖς] τοῖς συμβᾶσιν ἁπλῶς.*

572b. *καταξιῶ] ἄξιον κρίνω.*

573a. *ἡμῖν] ἐν.*

25 **573b.** *λοιποῖσιν] τοῖς ὑπολειφθεῖσιν.*

574a. *πῆμα] βλάβη.*

574b. *ἀντιρρέπει] ἐναντιοῦται· παρῆλθε γὰρ τὰ δεινά.*

575a. *ὡς] ὥστε.*

575b. *κομπάσαι] ἤγουν μετὰ σεμνότητος εἰπεῖν.*

30 **575c.** *τῶιδ'] ἐν.*

575d. *εἰκὸς] ἐστί.*

575e. *ἡλίου φάει] ἤγουν ἐν τῆι νῦν ἡμέραι.*

576. *ποτωμένοις] διερχομένοις τῆι φήμηι.*

577. *ἑλόντες] πορθήσαντες.*

35 **579a.** *δόμοις] ἐν.*

579b. *δόμοις] τοῖς ναοῖς.*

579c. *ἐπασσάλευσαν] ἀνέθεντο ἐπὶ πασσάλων ἀναρτήσαντες.*

579d. *γάνος] εὐφροσύνην ἐκ παλαιῶν ἀνατεθεῖσαν χρόνων.*

580a. *κλύοντας*] *ἀκούοντας τινάς.*
580b. *εὐλογεῖν*] *ἐπαινεῖν.*
580c. *πόλιν*] *τήν.*
581a. *Καὶ χάρις τιμήσεται· ἤγουν ὁμολογήσουσι καὶ τῶι Διὶ χάριν τῶι τάδε διαπραξαμένωι.* 5
581b. *τιμήσεται*] *τιμηθήσεται.*
582. *ἐκπράξασα*] *ἐκτελέσασα.*
583a. *λόγοισιν*] *ἐν.*
583b. *οὐκ ἀναίνομαι*] *ἀλλὰ χαίρω ἀκούων ἅπερ οὐκ ἤκουσα.*
583c. *ἀναίνομαι*] *ἀπαρέσκομαι.* 10
584a. *ἡμέτερα* + *τοῦτο ὅμοιόν ἐστι τῶι Σωκράτης τὰς ἐν γήραι μαθήσεις οὐκ ἔφευγεν. οἱ γὰρ σοφοὶ ἀεὶ τὰ βέλτιστα μανθάνειν ἐπιθυμοῦσι καὶ ὧν οὐκ εἰς πεῖραν ἦλθον. ὃ δὴ καὶ οἱ παρόντες λέγουσι γέροντες. χαίρομεν γάρ, φασίν, ἐν λόγοις νικώμενοι, ἤγουν πλείονας λόγους ὧν ἴσμεν ἀκούοντες, ἐπεὶ ἀκμαῖοί τινες ἐσμὲν εἰς τὸ τὰ βέλτιστα* 15 *μανθάνειν, κἂν καὶ τὰ μέλη παρειμένα τῶι χρόνωι κεκτήμεθα.*
584b. *ἡβᾶι*] *ἀκμάζει.*
584c. *τοῖς γέρουσιν*] *ἐπιθυμοῦσι γὰρ μανθάνειν ὧν οὐκ εἰς πεῖραν ἦλθον.*
584d. *ὡρ(αῖον).* 20
585a. *δόμοις*] *ἤγουν τοῖς οὖσιν ἐν τῶι οἴκωι.*
585b. *μελεῖν*] *διὰ φροντίδος εἶναι.*
586a. *εἰκὸς*] *πρέπον ἐστίν.*
586b. *σὺν δὲ πλουτίζειν*] *ἤγουν μεταδιδόναι μοι τοῦ τοιούτου πλούτου, ἤτοι τῆς χαρᾶς.* 25
587. *ἀνωλολύξαμεν*] *ἤγουν ἐπαιανίσαμεν.*
588a. + *δέον ὁ πρῶτος τοῦ νυχίου πυρὸς ἄγγελος εἰπεῖν, ὁ δὲ πρὸς τὸ ἄγγελος νύχιος εἶπεν.*
588b. *νύχιος*] *νυκτερινός.*
589a. *φράζων*] *λέγων, μηνύων.* 30
589b. *ἀνάστασιν*] *ἀνατροπήν, κατασκαφήν.*
590a. *ἐνίπτων*] *βλάπτων ἤγουν ὀνειδίζων.*
590b. *φρυκτωρῶν*] *ἤγουν διὰ φρυκτωρῶν.*
592a. *ἦ*] *ὄντως.*

24—25 cf. sch. uet. 586

11 *ἡμέτερα*] sch. 584a. 588a

592b. κάρτα] λίαν.
592c. γυναικὸς] ἤγουν γυναικός ἐστι μετεωρίζεσθαι καὶ μέγα φρονεῖν ἀκούσασάν τι.
593. λόγοις] ἤγουν ὑπὸ τοιούτων λόγων τοῦ ἀγγέλου δηλονότι ἐπλανή-
5 θην καὶ εὐπαράγωγος γέγονα.
594a. ἡμέτερα + καὶ γυναικείωι νόμωι, ἤγουν ὡς χρὴ γυναιξὶν ἀρχούσαις ποιεῖν, οὕτω κἀγὼ πεποίηκα προστάξασα πάντας τοὺς ἐν τῆι πόλει εὐφημεῖν καὶ θυσίας προσφέρειν τοῖς θεοῖς, ὃ καὶ ἐποίουν ἅπαντες καταστέλλοντες τὴν ἔξαψιν τῆς φλογός, ὥστε προσενεγκεῖν
10 θυμιάματα. τοῦτο γάρ μοι δοκεῖ λέγειν τὸ κοιμῶντες εὐώδη φλόγα.
594b. ἔθυον] τοῖς θεοῖς δηλονότι.
595. ὀλολυγμὸν] μετὰ θρήνου ὕμνον.
596a. ἔλασκον] ἐβόων.
15 596b. ἕδραις] ναοῖς.
597a. θυηφάγον] τὴν τὰ θύματα κατεσθίουσαν.
597b. κοιμῶντες] πραΰνοντες ἐπὶ τῶι ὀπτῆσαι ἢ θυμιάσαι.
598. τὰ μάσσω] τὰ μακρά.
599a. ἄνακτος] ἤγουν παρ' ἐκείνου μαθήσομαι πάντα.
20 599b. πεύσομαι] ἀκούσω.
599c. λόγον] τὸν περὶ τῆς ἁλώσεως.
600a. ὅπως] σκοπήσω.
600b. ἄριστα] ἀρίστως.
600c. αἰδοῖον] αἰδέσιμον.
25 600d. πόσιν] ἄνδρα.
601a. ὡρ(αῖον).
601b. πάλιν] εἰς τοὐπίσω.
602a. φέγγος] ἤγουν φῶς.
602b. ἥδιον] γλυκύτερον.
30 602c. δρακεῖν] θεάσασθαι, ἰδεῖν.
604a. πύλας] ὥστε.
604b. ἀπάγγειλον] εἰπέ.
604c. πόσει] τῶι ἀνδρί.
605a. ἥκειν] ἐλθεῖν.
35 605b. ὅπως] λίαν.
605c. ἐράσμιον] ἐρᾶι γὰρ αὐτοῦ ἡ πόλις.

6 ἡμέτερα] sch. 594a. 607a

606. *μολὼν*] *ἐλθών.*
607a. + *ὅρα τὸ παράδειγμα τῆς κυνός· εἰ καὶ δοκεῖ τοῦτ' εἰληφέναι τὸν ποιητὴν διὰ τὴν φυλακὴν μόνην, ἀλλ' ἔχει τι καὶ βαθύτερον. βουλόμενος γὰρ τὴν μοιχείαν ταύτης δηλῶσαι καὶ ὅτι ὥσπερ ἡ κύων οὐχ ἑνὶ ἀνδρὶ χρῆται, οὕτως οὐδ' ἐκείνη, εἰ καὶ λαθεῖν βουλομένη ἐπὶ* 5 *τούτωι σεμνύνεται, ἄλλου τέρψιν ἀνδρὸς οὐκ εἰδέναι φάσκουσα, τῆι κυνὶ ταύτην παραβάλλει.*
607b. *ἔλειπε*] *ἀφῆκεν ἀπαίρων.*
607c. *κύνα*] *ἤγουν φύλακα.*
608a. *ἐσθλὴν*] *ἀγαθήν, φίλην.* 10
608b. *δύσφροσιν*] *τοῖς ἐχθροῖς αὐτοῦ.*
609. *σημαντήριον*] *σφραγῖδα τῆς πρὸς τὸν ἄνδρα εὐνοίας.*
610. *μήκει*] *ἤγουν ἐν τῆι μακρᾶι ἐκείνου ἀποδημίαι.*
611a. *τέρψιν*] *ἡδονὴν ἄλλου ἀνδρός· ἐνταῦθα γὰρ συνάπτεται.*
611b. *φάτιν*] *φήμην.* 15
612. *Ὥσπερ οὐκ οἶδα τὰς βαφὰς τοῦ σιδήρου, ⟨οὕτως⟩ οὐδὲ ἡδονὴν ἑτέρου ἀνδρός.*
613a. *τοιόσδ'*] *ὁ.*
613b. *κόμπος*] *ἤγουν τὸ τοιαῦτα κομπάζειν ἀληθῆ.*
614a. *Γενναίαι γυναικὶ οὐκ αἰσχρόν ἐστι τὸ κομπάζειν.* 20
614b. *οὐκ αἰσχρὸς*] *ἐστὶ γυναικί.*
614c. *ὡς*] *ὥστε λακεῖν.*
614d. *λακεῖν*] *εἰπεῖν.*
615a. *Αὕτη μὲν οὕτως εἶπεν ὥστε σὲ μαθεῖν οὐχ ἡμᾶς ἀκριβῶς ἑρμηνεύσασα.* 25
615b. *εἶπε*] *τὸν λόγον.*
616a. *τοροῖσιν*] *ἀκριβέσιν, ἀληθέσιν.*
616b. *ἑρμηνεῦσιν*] *λόγοις ἐξηγητικοῖς.*
616c. *πρεπῶς*] *σεμνῶς.*
617a. *κῆρυξ*] *ὦ.* 30
617b. *πεύσομαι*] *ἐρωτῶ.*
618. *εἰ νόστιμος*] *ἤγουν εἰ ὑπονοστήσει σεσωσμένος.*
619a. *ἥξει*] *ἐλεύσεται.*
619b. *φίλον*] *τό.*
619c. *φίλον κράτος*] *ἤγουν ὁ φίλος ἄρχων τῆσδε τῆς γῆς.* 35

12 *εὐνοίας* Papag. *εὐνῆς* T || 16 add. Vict.

620a. *Οὐκ ἐπαινῶ τὰ ψευδῆ ὡς δυνάμενα ἐπὶ πολὺν χρόνον καλὰ τοῖς φίλοις καρπίζεσθαι, ἀντὶ τοῦ οὐκ ἐπὶ πολὺ ἐπαινετὰ ὑπὸ τῶν φίλων τὰ ψευδῆ.*
620b. *ὅπως] ὅτι.*
5 **621a.** *φίλοις] τοῖς.*
621b. *καρποῦσθαι] καρποφορεῖν παρέχειν.*
622a. *Πῶς δὴ δύνασαι ἀληθῆ ἅμα καὶ προσφιλῆ ἀγγεῖλαι; χωρισθέντα γὰρ ἀλλήλων ὁρᾶται.·*
622b. *κεδνὰ] ἤγουν προσφιλῆ, ἀγαθά.*
10 **623a.** *σχισθέντα] διαιρεθέντα.*
623b. *δ'] γάρ.*
623c. *οὐκ εὔκρυπτα] ἀλλὰ φανερά.*
624a. *ἀνὴρ] ὁ.*
624b. *ἄφαντος] ἀφανής ἐστιν.*
15 **624c.** *Ἀχαιικοῦ] τοῦ τῶν Ἀχαιῶν.*
625a. *πλοῖον] αὐτοῦ.*
625b. *οὐ ψευδῆ] ἀλλ' ἀληθῆ.*
626a. *ἀναχθεὶς] ἤγουν ὑποστρέφων.*
626b. *ἐμφανῶς] φανερῶς.*
20 **626c.** *Ἰλίου] τῆς Τροίας.*
627a. *χεῖμα] χειμών, κλύδων.*
627b. *ἄχθος] βάρος.*
627c. *ἥρπασε] ἐξέκοψεν, ἐχώρισεν.*
628a. *ὡρ(αῖον).*
25 **628b.** *ἔκυρσας] ἐπέτυχες τοῦ σκοποῦ.*
628c. *ὥστε] ὥσπερ.*
628d. *ἄκρος] πρῶτος, ἐξαίρετος.*
629a. *μακρὸν] τὴν μεγάλην βλάβην τὴν γενομένην ἡμῖν.*
629b. *ἐφημίσω] ἔλεξας.*
30 **631a.** *φάτις] φήμη.*
631b. *ναυτίλων] ναυτῶν.*
631c. *ἐκλῄζετο] ἐφημίζετο.*
632a. *ἀπαγγεῖλαι] μηνῦσαι.*
632b. *τορῶς] ἀληθῶς.*
35 **633a.** *τρέφοντος] τοῦ ζωογονοῦντος· οὗτος γὰρ π ά ν τ' ἐ φ ο ρ ᾶ ι.*
633b. *χθονὸς] τῆς γῆς.*

35 cf. Hom. *Γ* 277

634a. *γὰρ*] *δέ.*
634b. *χειμῶνα*] *κλύδωνα.*
635a. *ἐλθεῖν*] *ἐνταῦθα τὸ δαιμόνων κότωι.*
635b. *τελευτῆσαι*] *λῆξαι.*
635c. *δαιμόνων*] *τῶν θεῶν.* 5
635d. *κότωι*] *ὀργῆι.*
636a. *ὡρ(αῖον).*
636b. *ἡμέτερα* + *εὔφημον ἦμαρ τὴν ἡμέραν λέγει ταύτην ἐν ἧι τὰ περὶ τῆς ἁλώσεως τῆς Τροίας ἔφερε μηνύματα. ὅταν οὖν, φησί, διηγῆταί τις περί τινων κακῶν γεγενημένων, μιαίνει καὶ μολύνει* 10 *τὴν εὔθυμον ταύτην καὶ χαρμόσυνον ἡμέραν. οὐ πρέπει οὖν τοῦτο ποιεῖν, ἀλλὰ τιμᾶν τοὺς θεοὺς τοὺς δεδωκότας τὴν εὐθυμίαν καὶ τὰ δεινὰ λελυκότας.*
636c. *ἦμαρ*] *ἡμέραν.*
636d. *κακαγγέλωι*] *κακὰ ἀγγελλούσηι.* 15
637a. *μιαίνειν*] *μολύνειν.*
637b. *χωρὶς*] *ἤγουν ταῦτα λέγοντες ἀτιμάζομεν τοὺς θεούς.*
638a. *ἀπευκτὰ*] *ἀνέλπιστα.*
638b. *πήματ'*] *συμφοράς.*
639a. *στυγνῶι*] *κατηφεῖ.* 20
639b. *πτωσίμου*] *τοῦ πεπτωκότος, τοῦ ἀπολωλότος.*
640a. *ἕλκος ἓν*] *ἤγουν λύπη μία.*
640b. *τὸ δήμιον*] *τὸ δημόσιον, τὸ κοινόν.*
640c. *τυχεῖν*] *φέρει.*
640d. *τυχεῖν*] *ὥστε.* 25
641. *ἐξαγισθέντας*] *ἐξορισθέντας.*
642a. *διπλῆ*] *κοινῆι καὶ ἰδίαι.*
642b. *μάστιγι*] *τιμωρίαι, φόνωι.*
642c. *φιλεῖ*] *ἀγαπᾶι.*
643a. *δίλογχον*] *διπλῆν λέγω.* 30
643b. *ἄτην*] *βλάβην οὖσαν.*
643c. *φοινίαν*] *φονικὴν δυάδα ἤγουν ἅρμα.*
643d. *ξυνωρίδα*] *φέρει ἀπὸ κοινοῦ.*
644a. + *ὅταν, φησί, συμφοραί τινες ἐπέλθωσι, πρέπει ὑμνεῖν τὰς Ἐριννῦς καὶ οἷόν τινα παιᾶνα ἐπάιδειν αὐταῖς τόνδε, ἤγουν τὸν ἐπὶ* 35

26 cf. sch. uet. 641
8 *ἡμέτερα*] sch. 636b. 644a

τοιούτοις πρέποντα, ὥστε αὐτὰς ἐκμειλίξασθαι λύσιν τῶν συμφορῶν ποιήσασθαι καὶ διασκεδάσαι τὰ χαλεπά· συμφορῶν γὰρ αἱ θεαὶ αἴτιαι.

644 b. *μὲν*] *δέ.*

5 **644 c.** *πημάτων*] *συμφορῶν.*

644 d. *σεσαγμένων*] *σεσωρευμένων.*

645 a. *λέγειν*] *ὑμνεῖν.*

645 b. *παιᾶνα*] *ὕμνον.*

645 c. *τόνδ'*] *τὸν ἁρμόζοντα αὐταῖς.*

10 **647 a.** *ἥκοντα*] *ἐμέ.*

647 b. *εὐεστοῖ*] *εὐτυχίαι.*

648 a. *κεδνὰ*] *προσφιλῆ, ἀγαθά.*

648 b. *συμμίξω*] *ἑνώσω.*

649 a. *χειμῶν'*] *λέγω.*

15 **649 b.** *οὐκ ἀμήνιτον*] *ἀλλ' ἐξ ὀργῆς θεῶν γεγονότα.*

650 a. *ξυνώμοσαν*] *συνέθεντο.*

650 b. *ἔχθιστοι*] *ἐχθροὶ ἡμῶν ἤγουν μισοῦντες ἡμᾶς.*

650 c. *Ἐκφράζει τὴν τοῦ χειμῶνος χαλεπότητα.*

651 a. *πῦρ*] *διὰ τοὺς κεραυνοὺς καὶ τὰς τρικυμίας.*

20 **651 b.** *πίστ'*] *ἤγουν τὴν τῶν συνθηκῶν πίστιν.*

652. *δύστηνον*] *τὸν ἄθλιον.*

653 a. *δυσκύμαντα*] *χαλεπά.*

653 b. *ὠρώρει*] *διηγείρετο.*

654 a. *ναῦς*] *τάς.*

25 **654 b.** *πρὸς*] *ἐν.*

654 c. *Θρῄκιαι*] *ἀπὸ Θράκης ἄνεμοι πνέοντες.*

655 a. *ἤρειπον*] *κατέβαλλον, συνέκρουον.*

655 b. *Κερωτυπούμεναι ἤτοι τοῖς κέρασιν ἀλλήλων τυπτόμεναι· ἡ μεταφορὰ ἀπὸ τῶν ταύρων.*

30 **655 c.** *κερωτυπούμεναι*] *ἤγουν τυπτόμεναι παρ' ἀλλήλων.*

656. *ζάλῃ*] *ταραχῇ σὺν ὄμβρῳ γεγενημένῃ.*

657 a. *ᾤχοντ'*] *διεσκεδάσθησαν.*

657 b. *ἄφαντοι*] *ἀφανεῖς.*

657 c. *ποιμένος*] *τοῦ ἐπινεμομένου αὐτὰς ἀνέμου.*

35 **657 d.** *στρόβωι*] *συστροφῇ.*

658. *ἀνῆλθε*] *ἀνέτειλεν.*

9 *αὐταῖς* van Heusde *αὐτῶν* **T**

659a. *ἡμέτερον + ἀνθοῦν εἶπε τὸ πέλαγος ἐν τοῖς νεκροῖς ἐπειδὴ τὸ μέν ἐστι μέλαν, λευκὰ δὲ τὰ σώματα. ὥσπερ οὖν ἡ γῆ ἀστράπτει τοῖς ἄνθεσι καὶ ὡραΐζεται, οὕτω καὶ τὸ πέλαγος διηνθισμένον ἐδόκει τοῖς λευκοῖς σώμασιν.*
659b. *νεκροῖς*] *ἐν.* 5
660a. *ναυτικῶν*] *ἤτοι τῶν πλοίων.*
660b. *ἐριπίων*] *πτωμάτων.*
661a. *ναῦν*] *τήν.*
661b. *τ'*] *καί.*
661c. *ἀκήρατον*] *ἀβλαβές.* 10
661d. *σκάφος*] *τὸ πλοῖον λέγω.*
662a. *τις*] *τὸ θεός ἐνταῦθα.*
662b. *ἐξέκλεψεν*] *ἤγουν ἐρρύσατο.*
662c. *'ξῃτήσατο*] *ὥστε μὴ ἀποθανεῖν.*
662d. *'ξῃτήσατο*] *τὸν Δία δηλονότι.* 15
663a. *οὐκ ἄνθρωπος*] *οὐ γὰρ ἐξ ἀνθρώπου διεσώθημεν, ἀλλὰ θεοῦ.*
663b. *θιγών*] *ἁψάμενος.*
664a. *τύχη*] *ἡ.*
664b. *σωτὴρ*] *ἡ σώτειρα.*
664c. *σωτὴρ*] *ἡ.* 20
664d. *ναῦν*] *τήν.*
664e. *ἐφέζετο*] *ἐπεκάθητο αὐτῆι.*
665. *ὅρμωι*] *ἐν λιμένι.*
666a. *ἐξοκεῖλαι*] *ἐλλιμενίσαι.*
666b. *κραταίλεων*] *ἤγουν ὑπὸ τοῦ λαοῦ κρατουμένην ἤτοι ὀχλοκρατουμένην.* 25
667. *Ἅιδην*] *ἤγουν τὸν ἐκ θαλάσσης θάνατον.*
668a. *λευκὸν*] *ἤγουν κατὰ τὴν φανεῖσαν φωτεινὴν ἡμέραν.*
668b. *οὐ πεποιθότες*] *ἀλλ' ἀμφίβολοι ὄντες εἰ ἔτι σωθείημεν.*
668c. *πεποιθότες*] *θαρροῦντες.* 30
669a. *ἐβουκολοῦμεν*] *ἤγουν ὥσπερ ἐθεραπεύομεν ἐν λογισμοῖς τισι.*
669b. *νέον*] *τό.*
669c. *νέον*] *ἤτοι τὴν νέαν συμφοράν.*
670a. *καμόντος*] *κινδυνεύσαντος.*
670b. *σποδουμένου*] *διασκεδασθέντος δίκην σποδοῦ ἤτοι κόνεως.* 35
671. *ἐμπνέων*] *ἤτοι ζῶν.*

28 *φανῆσαν* T

672a. *ὀλωλότας*] *φθαρέντας.*
672b. *τί μή*] *διὰ τί γὰρ οὔ; ἐκινδυνεύσαμεν γάρ.*
673a. *ταῦτ'*] *ἤγουν τὸ ἀπολωλέναι.*
673b. *δοξάζομεν*] *λογιζόμεθα.*
5 **674a.** *ὡς*] *λίαν.*
674b. *ἄριστα*] *τὰ ἐκείνων δηλονότι.*
675a. *μάλιστα*] *τῶν ἄλλων δηλονότι.*
675b. *προσδόκα*] *ἐλπίδα ἔχε.*
675c. *μολεῖν*] *ἐλθεῖν.*
10 **676a.** *ἀκτὶς*] *ἤγουν ὁ ἥλιος περιφραστικῶς.*
676b. *νιν*] *αὐτόν.*
676c. *ἱστορεῖ*] *βλέπει.*
677a. *βλέποντα*] *ἐκ παραλλήλου· ὁ γὰρ ζῶν βλέπει.*
677b. *μηχαναῖς*] *βουλαῖς, οἰκονομίαις.*
15 **678a.** *θέλοντος*] *βουλομένου.*
678b. *ἐξαναλῶσαι*] *ἀφανίσαι.*
678c. *γένος*] *τοῦ Μενελάου δηλονότι.*
679a. *αὐτὸν*] *τὸν Μενέλαον.*
679b. *ἥξειν*] *ἐλεύσεσθαι.*
20 **680a.** *ἴσθι*] *γίνωσκε.*
680b. *κλύειν*] *ἀκούειν.*
681a. *στροφὴ κώλων ιζ'.*
681b. *ἡμέτερα + ἀκούσας ὁ χορὸς ὡς ὅσον οὔπω ἐλεύσεται Μενέλαος ἐπαγόμενος δηλονότι καὶ τὴν Ἑλένην, καὶ ἐκπλαγεὶς ἐπὶ τούτωι*
25 *φησί· τίς ἄρα ὠνόμαζεν, ἔλεγεν, ἤτοι ἤλπιζεν, ἐς τὸ πᾶν, ἤγουν παντελῶς, ὧδε καὶ ἐνταῦθα, γενέσθαι δηλονότι, ἐτητύμως καὶ ἀληθῶς, ἤτοι ὑποστρέψαι. νοεῖν γὰρ χρὴ οὕτως ἵν' εἴη τετελεσμένος ὁ λόγος· τίς οὖν ἤλπιζεν ὧδε γενέσθαι τὴν Ἑλένην τὴν δορίγαμβρον, ἤτοι τὴν διὰ πολέμων γαμουμένην, τουτέστιν ἧς ὁ γάμος περιμάχητος γέγονε,*
30 *τὴν ἀμφινεικῆ, ἤτοι περὶ ἣν ἀμφότεροι ἐφιλονείκουν Μενέλαός τε καὶ Πάρις, εἰ μὴ θεός τις, ἠπίστατο δηλονότι τοῦτο, ὅντινα οὐχ ὁρῶμεν — ἀόρατον γὰρ τὸ θεῖον — ὁ ταῖς προνοίαις τοῦ πεπρωμένου, ἤτοι ὁ ταῖς προνοητικαῖς τῆς εἱμαρμένης δυνάμεσι νέμων καὶ διδοὺς γλῶσσαν καὶ λόγον ἐν τύχηι, ἤτοι ὁ διδοὺς λόγον τοῖς τὰ τοιαῦτα προλέγουσι μάντεσιν*
35 *ἐν τύχηι καὶ εὐτυχίαι. μεγίστης γὰρ εὐτυχίας τὸ τοιούτων ἀξιωθῆναι τῶν ἀγαθῶν ὥστε προλέγειν τὰ μέλλοντα.*

23 *ἡμέτερα*] sch. 681 b. 681 c

681c. + *τίς ποτ' ὠνόμαζεν· τὰ τοιαῦτα εἴδη καλεῖται κατὰ σχέσιν καὶ ἐξ ὁμοίων ὡς εἴρηται. εἰσὶ γοῦν τὰ παρόντα στροφῶν δ', καὶ τῆς μὲν πρώτης στροφῆς τὰ κῶλα ιζ' καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα, τῆς δευτέρας ι' καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα, τῆς τρίτης ιβ' καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα καὶ τῆς τετάρτης ι' καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα. μετὰ δὲ ταύτας σύστημα ἐπιφθεγματικὸν κώλων κζ'. ἐφ' ἑκάστης στροφῆς καὶ ἀντιστροφῆς παράγραφος, ἐπὶ δὲ τῶι τέλει τοῦ ⟨συστήματος⟩ κορωνὶς ⟨μόνη⟩.*

681d. *ποτ'] ἄρα.*

681e. *ὠνόμαζεν] ἤγουν ἤλπιζεν, ἔλεγεν.*

681f. *ὧδ'] ἐνταῦθα.*

682a. *ἐς τὸ πᾶν] γενέσθαι δηλονότι ἤτοι ὑποστρέψαι τὴν Ἑλένην.*

682b. *τὸ πᾶν] παντελῶς.*

682c. *ἐτητύμως] ἀληθῶς.*

683a. *μή τις] εἰ μὴ θεός τις· λείπει γὰρ τὸ εἰ.*

683b. *οὐχ ὁρῶμεν] ἀόρατον γὰρ τὸ θεῖον.*

684. *προνοίαις] ἤγουν ὁ ταῖς προνοητικαῖς δυνάμεσι τῆς εἱμαρμένης.*

685a. *γλῶσσαν] ἤτοι λόγον.*

685b. *ἐν τύχαι] εὐτυχίαι.*

685c. *νέμων] ὁ διδούς.*

686a. *τὰν δορίγαμβρον] τὴν διὰ πολέμων γαμουμένην.*

686b. *ἀμφινεικῆ] περὶ ἣν δύο ἐφιλονείκουν.*

687. *πρεπόντως] ἁρμοδίως καὶ οὐ παραλόγως.*

688. *ἑλένας] ὁ ἑλὼν καὶ καθελὼν τὸν τῆς Ἑλένης ἄνδρα Ἀλέξανδρον καὶ τὴν πόλιν αὐτοῦ.*

690. *ἁβροτίμων] τῶν λίαν τιμίων.*

691. *προκαλυμμάτων] ἤτοι τῶν περιεχόντων καὶ περικαλυπτόντων αὐτὸν οἴκων.*

692a. *Ζεφύρου] ἐξ ἑσπέρας γὰρ πνέων οὔριος τούτωι γέγονεν.*

692b. *αὔραι] πνοῆι.*

693. *πολύανδροι] ἤγουν ἄπειροι ἄνδρες.*

694. *φεράσπιδες] ὡπλισμένοι.*

695a. *Ὥσπερ τὰ τῶν θηρίων ἴχνη ἀναζητοῦσι οἱ κυνηγοί, οὕτω καὶ αὐτοὶ κατ' ἴχνος εὐθὺς τοῦ Πάριδος ἔδραμον. τὸ δὲ ἄφαντον, ἐπεὶ φανερά εἰσι τὰ τῶν θηρίων ἴχνη, τὰ δὲ τῶν νεῶν ἀφανῆ.*

695b. *κυναγοὶ] ἔπλευσαν.*

8 legit van Heusde, hodie legi non potest

695c. *κατ' ἴχνος*] ἐνταῦθα τὸ ἄφαντον.
695d. *πλάταν*] τὴν κώπην.
695e. *ἄφαντον*] ἀφανές.
696a. *κελσάντων*] ἤτοι πελασάντων.
5 **696b.** *Σιμόεντος*] ποταμοῦ Τροίας.
697a. *ἀεξιφύλλους*] συνίζησις.
697b. *ἀεξιφύλλους*] αὔξουσι γὰρ ἐν ταῖς ἀκταῖς πόαι.
698a. *ἡμέτερα* + ὅρα τὴν σύνταξιν. ἀφεὶς τὴν εὐθεῖαν πρὸς γενικὴν ἐπλαγίασε ποικίλλων τὸν λόγον. εἰ δὲ βούλει, οὕτω λέγε· πολύανδροί
10 τε κυνηγοὶ καὶ φεράσπιδες ἔπλευσαν κατ' ἴχνος ἄφαντον καὶ ἀφανὲς τῶν κελσάντων καὶ πελασάντων τὴν πλάτην εἰς τὰς ἀκτὰς τοῦ Σιμόεντος. τὸ δὲ δι' ἔριν αἱματόεσσαν πρὸς τὸ ἔπλευσαν σύναπτε. τίνας δὲ λέγει κέλσαντας; τὸν Πάριν καὶ τοὺς σὺν αὐτῶι.
698b. *αἱματόεσσαν*] αἱματηράν· αἱμάτων γὰρ χύσιν ἔρις ποιεῖ.
15 **699a.** ἀντιστροφὴ κώλων ιζ'.
699b. *Ἰλίωι δὲ κῆδος*· ἐπειδὴ τὸ κῆδος σημαίνει καὶ τὴν ἐπιγαμβρίαν καὶ τὸ πένθος, ἐδήλωσε νῦν ὅτι τὸ πένθος λέγει.
699c. *Ἰλίωι*] τῆι Τροίαι.
699d. *κῆδος*] πένθος.
20 **699e.** *ὀρθώνυμον*] Ἰλιὰς γὰρ κακῶν ἡ παροιμία φησί.
701a. + τοῦτο βούλεται εἰπεῖν ὡς ἡ μῆνις ἀπαιτοῦσα τὸ νυμφικὸν μέλος τοὺς Τρῶας τοὺς παραλόγως τιμῶντας τὸν ὑμέναιον ἐπέφερε τῆι Ἰλίωι πένθος ὀρθώνυμον ἀτίμως ἐν ὑστέρωι χρόνωι ἕνεκα τῆς τραπέζης, ἐν ἧι συνειστιάθη Πάρις μετὰ τοῦ Μενελάου καὶ τοῦ συνεστίου
25 Διός, ἤτοι τοῦ ἐφορῶντος τοὺς συνοικοῦντας.
701b. *ἤλασεν*] ἐπέφερε.
701c. *τραπέζας*] ἕνεκα.
704a. *ξυνεστίου*] ἕνεκα.
704b. *ξυνεστίου*] τοῦ ἐφορῶντος τοὺς συνοικοῦντας.
30 **705a.** *πρασσομένα*] ἀπαιτοῦσα.
705b. *τὸ νυμφότιμον*] τὸ τοὺς νυμφίους τιμῶν.
706a. *ἐκφάτως*] ἔξω λόγου, ἤγουν παραλόγως.
706b. *τίοντας*] τοὺς τιμῶντας, ἤτοι τοὺς εἰς τιμὴν ᾄδοντας Τρῶας.

5 Hesych. *Σιμόεις* || **16–17** sch. D Hom. *N* 464 Hesych. *κῦδος* Ba. 277, 20 sch. Plat. Rep. 605d sch. Nic. Th. 2 || **20** C. P. G. I 96, 17. 256, 1 II 34, 9 cf. Leutsch-Schneidewin ad loc.

8 *ἡμέτερα*] sch. 698a. 701a

707a. *ὑμέναιον*] *τόν.*
707b. *ἐπέπρεπεν*] *ἥρμοζεν.*
708a. *γαμβροῖσιν*] *τοῖς, ἤτοι τοῖς νυμφίοις.*
708b. *ἀείδειν*] *ὥστε ἄιδειν ἐπ' αὐτούς.*
709. *ὕμνον*] *ἤτοι τὸν ὑμέναιον.* 5
710. *γεραιὰ*] *ἡ παλαιὰ καὶ ἀρχαία.*
711a. *πολύθρηνον*] *ἤγουν πολυθρηνήτως καὶ μεγάλως.*
711b. *που*] *ἴσως.*
711c. *στένει*] *στενάζει.*
712. *κικλήσκουσα*] *τὸν Πάριν τὸν αἰνόλεκτρον καλοῦσα παμπρόσθη.* 10
713. *αἰνόλεκτρον*] *τὸν χαλεπὸν λέκτρον κτησάμενον διὰ τὰ συμβάντα δεινά.*
714a. *παμπρόσθη*] *πᾶν πρόσκομμα καὶ ἐμπόδιον γεγονότα.*
714b. *παμπρόσθη*] *λήθη.*
715. *ἀμφὶ πολίταν*] *ἤγουν διὰ τὸν Ἀλέξανδρον.* 15
716a. *Μέγα που ἀναστένει αἰῶνα πολύθρηνον καὶ μέλεον αἷμα ἀνατλᾶσα διὰ τὸν πολίτην αὐτῆς τὸν Ἀλέξανδρον.*
716b. *ἡμέτερα* + *οἱ μὲν γὰρ ὑπέστησαν φόνον, οἱ δὲ περισωθέντες διὰ πάσης αὐτῶν τῆς ζωῆς θρηνεῖν ἔμελλον τῆι τε τῶν οἰκείων στερήσει καὶ τοῖς ἐκ τῆς δουλείας κακοῖς πιεζόμενοι.* 20
716c. *μέλεον*] *λείπει ὁ καί.*
716d. *αἷμα*] *φόνον.*
716e. *ἀνατλᾶσα*] *ὑπομείνασα.*
717a. *ση(μείωσαι).*
717b. *στροφὴ ἑτέρα κώλων ι'.* 25
717c. *ἔθρεψεν*] *ἤγουν ἀνέθρεψεν αὐτὸν ἀνήρ τις ἐκτεθέντα.*
717d. *λέοντα*] *τὸν Ἀλέξανδρον λέγει.*
718a. *σίνιν*] *βλαπτικόν, φθορέα.*
718b. *ἀγάλακτον*] *μήπω κεκορεσμένον γάλακτος· βρέφος γὰρ ἐξετέθη.*
719. *φιλόμαστον*] *ποθοῦντα μαστόν.* 30
720. *βιότου προτελείοις*] *ἐν ταῖς ἀρχαῖς τῆς ζωῆς αὐτοῦ.*
721a. *ἅμερον*] *πρᾶον, ταπεινόν.*
721b. *εὐφιλόπαιδα*] *τοὺς τῶν ἄλλων παῖδας καλῶς φιλοῦντα.*
722a. *γεραροῖς*] *τοῖς γέρουσι.*
722b. *ἐπίχαρτον*] *εὐφροσύνης πρόξενον.* 35

14 incertum quo pertineat haec glossa || 18 *ἡμέτερα*] sch. 716b. 723a. 729a

723 a. + *προσῆλθε δὲ ταῖς ἀγκάλαις τῶν ἀνθρώπων πολλάκις καὶ πρὸς τὴν χεῖρα φαιδρωπὸς δίκην καὶ τρόπον τέκνου νεοτρόφου καὶ νεαροῦ καὶ σαίνων ἐν ταῖς ἀνάγκαις τῆς γαστρός, τουτέστιν ἐκμειλίσσων οἷον καὶ ἐφελκόμενος αὐτοὺς δοῦναι αὐτῶι τροφήν, οἷα τὰ βρέφη ποιεῖν* 5 *εἰώθασι προσερχόμενα τοῖς γονεῦσι καὶ τοῖς ἄλλοις οἷς ἐντυγχάνουσιν. οὕτω τὸ σαίνων πρὸς τὸ ἔσχε καὶ πρὸς τὸ φαιδρωπὸς ἀποδώσεις, καὶ οὐχ ὥς τινες πρὸς τὸ τέκνου ἀποδιδόντες σαίνοντος φασί· ὡς τὸ παρ' Ὁμήρωι ἀστράπτων ἐπιδέξια.*

723 b. *πολέα*] *ἤγουν πολλάκις.*

10 **723 c.** *ἔσχ'*] *προσέσχε, προσῆλθε.*

724 a. *νεοτρόφου*] *ἀρτιτρεφοῦς.*

724 b. *δίκαν*] *τρόπον.*

725 a. *φαιδρωπὸς*] *χαρωπός.*

725 b. *ποτὶ*] *πρός.*

15 **725 c.** *σαίνων*] *καὶ οἷον ἐφελκόμενος.*

726 a. *ἀνάγκαις*] *ἐν.*

726 b. *ἀνάγκαις*] *ἤγουν χρείαν ἔχων τροφῆς.*

727 a. *ἀντιστροφὴ κώλων ι'.*

727 b. *χρονισθεὶς*] *ἤγουν πλείστους διηνυκὼς χρόνους.*

20 **727 c.** *ἀπέδειξεν*] *ἔδειξεν.*

728 a. *ἔθος*] *τὸν νόμον.*

728 b. *τὸ πρὸς τοκέων*] *τῶν παρὰ τῶν παίδων εἰς τοὺς τεκόντας.*

728 c. *χάριν γὰρ*] *ἤγουν ἀμοιβὰς διδοὺς τοῖς θρέψασιν αὐτόν.*

729 a. + *βουλόμενος ἀμοιβὰς τοῖς τροφεῦσιν ἀποδοῦναι οὐκ ἀγαθὰς* 25 *αὐτοῖς ἀπέδωκεν, ἀλλὰ πολέμους καὶ μάχας κατασκευάσας τά τε θρέμματα αὐτῶν καὶ τὴν ἄλλην πᾶσαν διώλεσεν ὕπαρξιν καὶ αὐτοὺς τῶι θανάτωι παρέδωκεν, ἀντ' εὐωχίας καὶ εὐφροσύνης λύπας καὶ στεναγμοὺς καὶ φθορὰν αὐτοῖς ἀποδεδωκώς.*

729 b. *ἀμείβων*] *ἀποδιδούς.*

30 **730 a.** *μηλοφόνοισιν*] *ἤγουν φθοροποιοῖς τῶν θρεμμάτων ἀπὸ μέρους.*

730 b. *ἄταισιν*] *ἐν.*

730 c. *ἄταισιν*] *ἤγουν πολέμοις.*

731 a. *δαῖτ'*] *εὐωχίαν.*

731 b. *ἀκέλευστος*] *μὴ ὑπ' ἐκείνων εἰς τοῦτο προτραπείς.*

35 **731 c.** *ἔτευξεν*] *κατεσκεύασεν αὐτοῖς.*

732 a. *αἵματι*] *φονευθέντων τῶν ἐν αὐτῶι οἰκούντων.*

8 Hom. *B* 353

732b. *ἐφύρθη*] *ἐμίχθη.*
733a. *ἡμέτερα + οἰκέτας λέγει ἢ τοὺς τῶν θρεψαμένων αὐτὸν δούλους ἢ καὶ αὐτοὺς ἐκείνους τοὺς θρεψαμένους· οἱ γὰρ πρότερον τροφεῖς τε καὶ πατέρες εἶναι τούτου δοκοῦντες, ὕστερον ἀνακαλεσαμένων τοῦτον τῶν γονέων εἰς τὰ βασίλεια, οἰκέται κἀκεῖνοι εὑρέθησαν. ἱερέα δὲ ἄτης τὸν Ἀλέξανδρον λέγει, ἐπειδὴ οἱ μὲν τὰς θυσίας ποιοῦντες τῶν θεῶν ἱερεῖς οὐκ ἄτης εἰσὶν ἱερεῖς, ἀλλ' εὐθυμίας μᾶλλον καὶ ὠφελείας τοῖς τὰς θυσίας προσάγουσιν, οὗτος δὲ τῶν τε θρεμμάτων καὶ τῶν ἀνθρώπων σφαγὰς ἐργασάμενος εἰκότως ἄτης ὠνόμασται ἱερεύς.* 5
733b. *ἄλγος*] *λύπη, συμφορά.* 10
733c. *οἰκέταις*] *τοῖς.*
733d. *οἰκέταις*] *τῶν θρεψαμένων.*
734a. *σίνος*] *βλάβος.*
734b. *πολυκτόνον*] *πολλοὺς κτεῖναν.*
735a. *ἱερεύς*] *σφαγεύς, ὄλεθρος.* 15
735b. *ἄτας*] *ἀπωλείας.*
736. *προσετράφη*] *ηὐξήθη.*
737a. *στροφὴ ἑτέρα κώλων ιβ'.*
737b. *παραυτὰ*] *ἤγουν αὐτίκα.*
737c. *ἐλθεῖν*] *τὴν Ἑλένην.* 20
738. *φρόνημα*] *ἦλθε.*
740. *νηνέμου*] *ἤγουν φρονιμωτάτη οὖσα καὶ πραοτάτη.*
741a. *ἀκασκαῖον*] *λίαν κεκοσμημένον.*
741b. *ἄγαλμα*] *κόσμος.*
741c. *πλούτου*] *διὰ τὸ κάλλος αὐτῆς· οὐ γὰρ ἦν δυσειδὴς ὥστε τὸν πλοῦτον αἰσχύνειν.* 25
742. *μαλθακὸν*] *ἤγουν ἠρέμα τιτρώκουσα τῶι κάλλει τὰ ὄμματα τῶν ὁρώντων αὐτήν.*
743a. *δηξίθυμον*] *ὡς δῆκον καὶ λυποῦν τὴν ψυχήν.*
743b. *ἄνθος*] *εὐπρέπεια.* 30
744a. *παρακλίνουσ'*] *παρακαθημένη καὶ συνανακλινομένη τοῖς Τρωσίν.*
744b. *ἐπέκρανε*] *ἐποίησε.*
745. *τελευτάς*] *τὰ τέλη.*

13 cf. Hesych. *σίνος* || **23** cf. sch. uet. 741

2 *ἡμέτερα*] sch. 733a. 748a

746. *δύσεδρος*] ἐπὶ κακῶι συγκαθεσθεῖσα καὶ συνομιλήσασα ἐκείνοις.
747 a. *συμένα*] ὁρμηθεῖσα καὶ ἐπελθοῦσα.
747 b. *Πριαμίδαισιν*] τοῖς.
748 a. + βουλόμενος, ὥς φασιν, ὁ Ζεὺς εἰς ἓν συνάψαι τὰ δύο τῆς
5 οἰκουμένης μέρη, τό τε ἑῶον καὶ τὸ ἑσπέριον, καὶ φθορὰν τῶν ἀν-
θρώπων ἐργάσασθαι καὶ τὴν γῆν ἀπαλλάξαι τοῦ βάρους, τὴν Ἑλένην
ἐξέπεμψε τοῖς Τρωσὶ καὶ τὸν δι' αὐτὴν συνεστήσατο πόλεμον· εἰκότως
οὖν τὸ πομπῆι Διὸς εἴρηκεν.
748 b. *πομπᾶι*] ἐν.
10 **748 c.** *Διὸς*] οὗτος γὰρ ἔπεμψε ταύτην αὐτοῖς.
749. *νυμφόκλαυτος*] νύμφη λέγω κλαυμάτων καὶ φθορᾶς αἰτία.
750 a. ἀντιστροφὴ κώλων ιβ'.
750 b. ὠρ(αῖον).
750 c. *παλαίφατος*] ἐκ παλαιῶν ἀνδρῶν ῥηθείς.
15 **750 d.** *γέρων*] παλαιός.
751 a. *τέτυκται*] κατεσκεύασται, ἤγουν λέγεται.
751 b. *τελεσθέντα*] γεγονότα.
752 a. *φωτὸς*] ἀνδρός.
752 b. *ὄλβον*] πλοῦτον.
20 **753.** *τεκνοῦσθαι*] παιδοποιεῖν, συμφορὰν δηλονότι.
754. *θνήσκειν*] ἤγουν παύεσθαι, λήγειν.
755. *ἀγαθᾶς τύχας*] ἤγουν ἀπὸ τῆς ἄγαν εὐτυχίας εἰς ἐσχάτην ταλαι-
πωρίαν ἔρχεσθαι.
756 a. *βλαστάνειν*] ἐπιφύειν, ἐπάγειν.
25 **756 b.** *ἀκόρεστον*] κόρον μὴ ἔχουσαν, πολλήν.
756 c. *ὀιζύν*] συνίζησις.
756 d. *ὀιζύν*] ταλαιπωρίαν.
757 a. *ἡμέτερον* + δίχα δ' ἄλλων· εἰ καὶ παλαιῶν, φησί, λόγος
φάσκει μέγαν τελεσθέντα ὄλβον παιδοποιεῖν συμφορὰν καὶ ἐξ ἀγαθῆς
30 τύχης βλαστάνειν τῶι γένει ταλαιπωρίαν, ἀλλ' ἐγὼ οὐχ ὁμοίως τούτοις
περὶ τούτου φρονῶ, ἀλλὰ μεμονωμένος εἰμὶ κατὰ τὴν φρόνησιν καὶ
κεχωρισμένος τῶν ἄλλων τὰ περὶ τούτου φρονῶ. οὐ γὰρ πᾶς ὄλβος
μέγας γενόμενος τοῦτο ποιεῖν εἴωθεν, ἀλλ' οἱ μὲν ἀσεβεῖς καὶ παρά-
νομοι καὶ ἐξ ἀδικίας πλουτήσαντες ὅμοια ἑαυτοῖς ἀποτίκτουσι τέκνα

4—7 sch. AD Hom. *A* 5 sch. Eur. Or. 1641

7 ἐξέπεμψε **Ta** ἐξέπεμψαι **T**

παρανομίαις καὶ ἀδικίαις καὶ ἁρπαγαῖς χαίροντα, οἱ δὲ δικαίως πολιτευόμενοι καὶ δικαιοσύνηι χαίροντες καὶ κάλλιστα τίκτουσι τέκνα καὶ αὐτοῖς ὅμοια καὶ ἀεὶ εὐτυχίαι συζῶσι. τοῦτο δὲ λέγει διά τε τὸν Πάριν καὶ τοὺς Ἀτρείδας· ὁ μὲν γὰρ ὅμοιος γεγονὼς τοῖς γονεῦσιν ἄδικός τε καὶ ἅρπαξ ἀπόλωλεν, οἱ δὲ δίκαις χαίροντες, ὡς καὶ οἱ τούτων πρόγονοι, 5
εὐτυχοῦσί τε ἀεὶ καὶ τροπαιοῦχοι καθίστανται. λέγει δὲ ὕβριν μὲν παλαιὰν τὴν τοῦ Πάριδος ἁρπαγήν, ἣν εἰς ὕβριν Μενελάου πεποίηκεν αἰσχύνας τὴν κοινὴν τράπεζαν, νεάζουσαν δὲ ἐν κακοῖς τὴν ἐκ τῆς ἁλώσεως τοῖς Τρωσὶν ἐπελθοῦσαν συμφορὰν καὶ ἀπώλειαν.
757b. *δίχα] κεχωρισμένος.* 10
757c. *μονόφρων εἰμί] ἤγουν οὐχ ὁμοίως τοῖς ἄλλοις περὶ τούτου φρονῶ.*
758a. *ὡρ(αῖον).*
758b. *δυσσεβὲς] ἤγουν οἱ δυσσεβεῖς καὶ παράνομοι καὶ ἄδικοι.*
759a. *μετὰ] ἤγουν μετὰ πολὺν χρόνον.* 15
759b. *τίκτει] τεκνοποιοῦσιν.*
760a. *σφετέραι] τῆι ἰδίαι.*
760b. *εἰκότα] ὅμοια.*
760c. *γένναι] γενεᾶι, ἤγουν ἑαυτοῖς.*
761a. *γὰρ] δέ.* 20
761b. *εὐθυδίκων] δικαίως πολιτευομένων.*
762a. *καλλίπαις] ἀγαθοὺς τίκτουσα παῖδας.*
762b. *πότμος] εὐτυχία.*
763a. *στροφὴ ἑτέρα κώλων ι΄.*
763b. *Τίκτει, φησίν, ἡ παλαιὰ ὕβρις νέαν ὕβριν καὶ κότον καὶ τὸν* 25
ἄμαχον δαίμονα, ὅ ἐστι τὸ ἀνίερον καὶ ἀσεβὲς θράσος ἐν τοῖς οἴκοις τῆς ἄτης. τοῦτο δὲ λέγει ὅτι ὁ ὑβριστὴς καὶ θρασὺς ἄταις ἐμπίπτει.
763c. *φιλεῖ] εἴωθεν.*
763d. *τίκτειν] γεννᾶν.*
763e. *ὕβρις] τὴν ἁρπαγὴν λέγει Πάριδος.* 30
764a. *νεάζουσαν] νέαν. λέγει δὲ τὴν ἐκ τῆς ἁλώσεως συμφοράν.*
764b. *νεάζουσαν] ἀνανεουμένην ἐν κακοῖς.*
766. *ὕβριν] ἐνταῦθα τὸ εἰδομέναν.*
767. *μόληι] τὸ πεπρωμένον, τὸ κεκυρωμένον ἔλθηι.*
768a. *νεαρὰ] γενομένη ἡ ὕβρις.* 35
768b. *φάους] ἐπὶ τῆς ἡμέρας.*

10 *κεχωρισμένως* T

768c. *κότον*] ὀργήν, φθορὰν λέγω τίκτει.
769a. *δαίμονα*] ἤγουν δυστυχίαν.
769b. *ἀπόλεμον*] τὸν ἄμαχον.
769c. *ἀπόλεμον*] ἀντὶ μιᾶς.
5 **770.** *ἀνίερον*] λέγω ἀσεβές.
771a. *μελαίνας*] σκοτεινῆς, ἤγουν ἀμαυρούσης αὐτούς.
771b. *μελάθροισιν*] ἐν.
771c. *μελάθροισιν*] ἐν οἴκοις.
771d. *ἄτας*] βλάβης, φθορᾶς.
10 **772a.** *εἰδομέναν*] ἤγουν ὁμοίαν.
772b. *τοκεῦσιν*] τοῖς γονεῦσιν.
773a. ἀντιστροφὴ κώλων ι'.
773b. *ἡμέτερα* + ἡ δίκη, φησίν, ἐν μὲν τοῖς οἴκοις τοῖς πενιχροῖς καὶ εὐτελέσι καὶ ἠμαυρωμένοις λάμπει, ἤγουν ἐν τοῖς πενιχροῖς ἀνθρώ-
15 ποις ἀνθεῖ τὸ δίκαιον· τίουσι γὰρ καὶ τιμῶσι τὸν ἐκ δικαιοσύνης βίον. τὰ δὲ κεκοσμημένα ἐν χρυσῶι καὶ κεκαλλωπισμένα ἔνδοξα καὶ πλούσια δώματα σὺν πίνωι καὶ ῥύπωι χειρῶν, ἤγουν τὰ πλουτοῦντα ἐν πράξεσι καὶ ἐνεργείαις χειρῶν ῥυπαρῶν καὶ ἀδίκων καὶ ἁρπακτικῶν, λιποῦσα ἡ δίκη παλίντροπα τοῖς ὄμμασι, τουτέστιν εἰς τοὐπίσω τῶν
20 ὀμμάτων τετραμμένα, ἤγουν παραβλέψασα ταῦτα, εἰς τὰ ὅσια προσέρχεται δώματα οὐ τιμῶσα ἐν αἴνωι, ἤτοι οὐκ ἐπαινοῦσα, δύναμιν πλούτου, τουτέστι πλοῦτον, παράσημον καὶ παράδοξον καὶ ἔξω τοῦ δικαίου σεσημασμένην καὶ ἐπίσημον. πᾶν γὰρ τοιοῦτον, ἤγουν πάντα τοιοῦτον πλοῦτον μὴ ἐκ δικαίων συνηγμένον, ἐπὶ τέλος ἄγει ἄξιον
25 αὐτῶι.
773c. *δίκη*] ἡ δικαιοσύνη.
773d. *λάμπει*] ἤγουν ἐν τοῖς πενιχροῖς ἐστι τὸ δίκαιον.
774a. *δυσκάπνοις*] πενιχροῖς καὶ εὐτελέσι.
774b. *δώμασι*] οἴκοις.
30 **775a.** *ἐναίσιμον*] τὸν δίκαιον.
775b. *τίει*] τιμᾶι ἡ δίκη.
776a. *χρυσόπαστ'*] τὰ κεκαλλωπισμένα ἐν χρυσῶι.
776b. *ἐσθλὰ*] ἔνδοξα δώματα.
777. *πίνωι*] ῥύπωι, ἤγουν σὺν πράξεσι χειρῶν ῥυπαραῖς καὶ ἀδίκοις.
35 **778.** *παλίντροπ'*] εἰς τοὐπίσω τετραμμένα τῶν ὀμμάτων, ἤγουν παραβλέψασα ἐκεῖνα.

13 *ἡμέτερα*] sch. 773b. 782b

779a. *ὅσια] εἰς τὰ δίκαια προσῆλθε, δώματα δηλονότι.*
779b. *δύναμιν] δύναμιν τοῦ πλούτου, ἤγουν τὸν πλοῦτον.*
780a. *οὐ σέβουσα] οὐ τιμῶσα ἐν αἴνωι, ἤγουν οὐκ ἐπαινοῦσα.*
780b. *πλούτου] ἐνταῦθα τὸ τοῦ.*
780c. *παράσημον] ἔξω τοῦ δικαίου σεσημασμένον.* 5
780d. *αἴνωι] ἐν ἐπαίνωι.*
781a. *πᾶν] τοιοῦτον.*
781b. *δ'] γάρ.*
781c. *ἐπὶ τέρμα] ἐπὶ τέλος ἄξιον αὐτῶι.*
781d. *νωμᾶι] κινεῖ, ἄγει.* 10
782a. *+ σύστημα ἐπιφθεγματικὸν κώλων κζ'.*
782b. *+ ἄγε δή, βασιλεῦ· σύστημα ἐπιφθεγματικὸν μετὰ τὰς στροφὰς καὶ ἀντιστροφὰς εἰς δύο περιόδους διῃρημένον κώλων ἀναπαιστικῶν κζ', ὧν τὸ β', τὸ ε' καὶ τὸ κα' μονόμετρα, τὰ λοιπὰ δίμετρα ἀκατάληκτα, τὰ δὲ ἐν ταῖς ἀποθέσεσι τῶν περιόδων καταληκτικὰ ἤτοι ἑφθημιμερῆ. ἐπὶ τῆι ἀποθέσει τῆς πρώτης περιόδου παράγραφος, ἐπὶ δὲ τῆς β' κορωνίς, ὑποχωρήσαντος τοῦ χοροῦ.* 15
783a. *βασιλεῦ] ὦ.*
783b. *πολίπορθ'] ἤγουν ὁ πορθήσας τὴν Τροίαν.*
784. *γένεθλον] γέννημα, τέκνον.* 20
785a. *προσείπω] ἀσπάσομαι.*
785b. *σεβίζω] τιμήσω.*
786a. *μήθ'] ἤγουν μήτε ὑπερβάλλοντι ἐπαίνωι μήτε ταπεινῶι χρησάμενος.*
786b. *ὑποκάμψας] κλίνας.* 25
787. *χάριτος] τῆς κατὰ χάριν γενομένης προσρήσεως.*
788a. *ὡρ(αῖον).*
788b. *Πολλοί, φησί, τοῦ ἀληθῶς εἶναι τὸ δοκεῖν εἶναι προτιμῶσιν, ὅ ἐστιν οὐ τὸν φύσει ἀγαθὸν τιμῶσιν, ἀλλὰ τὸν δοκοῦντα.*
788c. *δὲ] γάρ.* 30
788d. *τὸ δοκεῖν] τοῦ ἀληθῶς εἶναι.*
789a. *προτίουσι] προτιμῶσι.*
789b. *δίκην] τὸ δίκαιον· οὐ γὰρ οὕτω χρὴ ποιεῖν.*
790a. *τῶι δυσπραγοῦντι] τῶι δυστυχοῦντι.*
790b. *ἐπιστενάχειν] συλλυπεῖσθαι.* 35
791a. *ζη(τητέον).*

36 fort. manu rec. additum

791b. *ἕτοιμος*] *πρόχειρος.*
791c. *δῆγμα*] *ἤγουν οὐ δάκνει τοῦτον ἡ λύπη ἐν τῆι ψυχῆι.*
792a. *ἐφ' ἧπαρ*] *ἤγουν ἐπὶ τῆι ψυχῆι.*
792b. *προσεφικνεῖται*] *ἐπέρχεται.*
5 **793a.** *ξυγχαίρουσιν*] *εἰσὶ δηλονότι.*
793b. *ξυγχαίρουσιν*] *τοῖς.*
793c. *ὁμοιοπρεπεῖς*] *ἤγουν ὅμοιοι τοῖς χαίρουσιν εἶναι σχηματιζόμενοι.*
794. *ἀγέλαστα*] *ἤγουν σκυθρωπὰ ἔχειν τὰ πρόσωπα προσποιούμενοι.*
10 **795a.** *ἡμέτερα* + *ὅστις δέ, φησίν, ἐστὶν ἀγαθὸς καὶ ἁπλοῦς καὶ ἄκακος τὴν γνώμην, ἢ ἀγαθὸς καὶ ἐπιτήδειος ἐξεταστὴς δηλονότι γνωμῶν ἁπλῶν καὶ ἀπεριέργων καὶ οὐκ ἐπιπλάστων, οὐκ ἔστι λαθεῖν ἐκεῖνον ὄμματα ἀνδρός τινος τὰ δοκοῦντα ἀπὸ φρονίμου καὶ ποικίλης καὶ οἰκονομικῆς διανοίας κολακεύειν καὶ ἀπατᾶν τοὺς φίλους ἐν φιλίαι 15 κεκαπηλευμένηι καὶ δολερᾶι, τουτέστι οὐ λανθάνει ἐκεῖνον τίς οὐ καθαρὰν καὶ ἄκρατον ἔχει φιλίαν, ἀλλ' ἀπατᾶι τοὺς φίλους προσποιούμενος ὑπὸ ποικίλης καὶ περιέργου γνώσεως ἀληθὴς εἶναι φίλος. ὄμματα δὲ φωτὸς εἶπεν, ἐπεὶ ἐξ ὀμμάτων εἰώθασί τινες τεκμαίρεσθαι τοὺς ἁπλοῦς καὶ ποικίλους καὶ τοὺς ἄλλως πως διακειμένους.*
20 **795b.** *ἀγαθὸς*] *ἐστίν.*
795c. *προβατογνώμων*] *ἁπλοῦς καὶ ἄκακος τὴν γνώμην ἢ ἐρευνητὴς γνωμῶν ἁπλῶν.*
796a. *λαθεῖν*] *ἐκεῖνον.*
796b. *φωτὸς*] *τινὸς ἀνδρός.*
25 **797.** *εὔφρονος*] *ἀπὸ φρονίμου καὶ ποικίλης καὶ οἰκονομικῆς.*
798a. *ὑδαρεῖ*] *μεμιγμένηι καὶ οὐ καθαρᾶι καὶ ἀκράτωι.*
798b. *σαίνειν*] *κολακεύειν, ἀπατᾶν.*
798c. *φιλότητι*] *φιλίαι.*
799. *στέλλων*] *κοσμῶν ἢ πλεῦσαι κατασκευάζων.*
30 **800.** *ἐπικεύσω*] *κρύψω ὅπερ βούλομαι εἰπεῖν.*
801a. + *ἀπὸ μεταφορᾶς τῶν ἀτέχνως καὶ ἀναρμόστως κατασκευαζομένων καὶ γεγραμμένων εἰκόνων καὶ τοῦτο ἀμούσως ἦσθα γεγραμμένος εἴρηκε, μονονουχὶ λέγων αὐτῶι ὡς ἀμέτοχος ἦσθα γνώσεως καὶ οὐ καλῶς διοικῶν καὶ διεξάγων τοὺς οἴακας τοῦ λογισμοῦ, 35 ὅτε στρατιὰν τοσαύτην διὰ γυναῖκα κεκίνηκας. νῦν δὲ ἐπεὶ καλῶς ὑμῖν*

10 *ἡμέτερα*] sch. 795a. 801a. 810a || **15** *τίς*] *ὅστις* van Heusde || **32** *τοῦτο* van Heusde *τοῦτον* T

τυγχάνει τετελεσμένα τὰ πράγματα, εὔφρων τίς ἐστιν ὁ πόνος, ἤγουν καλῶς καὶ φρονίμως δοκεῖτε πονῆσαι καὶ οὐκ ἀπ' ἄκρας φρενός, ἀλλ' ἐκ βάθους, οὐδ' ἀφίλως, τουτέστιν οὐδ' ἄνευ φιλίας τῆς περὶ ταῦτα ἢ τὴν Ἑλένην.

801b. *κάρτ'] λίαν.* 5

801c. *ἀπομούσως] ἔξω ῥυθμοῦ, ἤτοι γνώσεως καὶ τέχνης ἐπιστημονικῆς.*

801d. *ἦσθα] ὑπῆρχες.*

801e. *γεγραμμένος] ἐζωγραφημένος.*

802a. *εὖ] καλῶς.* 10

802b. *πραπίδων] φρονήσεων.*

802c. *νέμων] κινῶν, διεξάγων.*

803. *θάρσος] ἤγουν παραθαρρύνων τοὺς Ἕλληνας εἰς ἑκούσιον θάνατον.*

804. *εὖ θνήσκουσι] ἤτοι προθύμοις οὖσι πρὸς τὸ ἀποθνήσκειν.* 15

805a. *οὐκ ἀπ' ἄκρας] ἀλλ' ἐκ βάθους.*

805b. *οὐδ' ἀφίλως] ἄνευ τῆς περὶ τὴν Ἑλένην φιλίας.*

806a. *εὔφρων] φρόνιμος.*

806b. *πόνος] ἐστὶν ὑμῖν.*

806c. *εὖ τελέσασιν] καλῶς τὸ πρᾶγμα τετελεκόσιν.* 20

807a. *γνώσηι] κατανοήσεις.*

807b. *χρόνωι] ἐν.*

807c. *χρόνωι] διὰ χρόνου.*

807d. *διαπευθόμενος] καταμανθάνων.*

808a. *δικαίως] καλῶς καὶ ὡς ἀπήιτει τὸ δίκαιον.* 25

808b. *ἀκαίρως] τὸν ἔξω τοῦ πρέποντος καιροῦ.*

809a. *πόλιν] τὴν σήν.*

809b. *οἰκουροῦντα] οἰκοῦντα, φυλάσσοντα.*

810a. + *π ρ ῶ τ ο ν μ ὲ ν Ἄ ρ γ ο ς· αἱ περίοδοι αὗται αἱ συστηματικαὶ στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ρξε', ὧν τελευταῖος·* 30 *μ έ λ ο ι δ έ τ ο ι σ ο ὶ τ ῶ ν π ε ρ ἂ ν μ έ λ λ η ι ς τ ε λ ε ῖ ν. ἐπὶ ταῖς ἀποθέσεσιν ἑκάστης περιόδου παράγραφος, ἐπὶ δὲ τῶι τέλει πασῶν κορωνίς, ὑποχωρούντων τῶν ὑποκριτῶν.*

810b. *Ἄργος] τό.*

810c. *ἐγχωρίους] τοὺς ἐνταῦθα τιμωμένους.* 35

811a. *δίκη] δίκαιον.*

31 u. 974

811b. *προσειπεῖν*] *ἀσπάσασθαι.*
811c. *μεταιτίους*] *αἰτίους, προξένους.*
812a. *νόστου*] *τῆς ὑποστροφῆς.*
812b. *τε*] *καί.*
5 **812c.** *ἐπραξάμην*] *ἀπήιτησα, ἤγουν τῆς τιμωρίας ἣν ἐτιμωρησάμην αὐτήν.*
813a. *δίκας*] *τὰς ἐν Ἰλίωι γενομένας κρίσεις ἡμῶν.*
813b. *Οὐκ ἀφ' ἡμῶν ἀκούσαντες τὰς δικαιολογίας, ἀλλ' ἑωρακότες τὰ πεπραγμένα.*
10 **813c.** *γλώσσης*] *ἡμῶν.*
814a. *κλύοντες*] *ἀκούοντες.*
814b. *ἀνδροθνῆτας*] *ἀνδροφθόρους.*
814c. *φθορὰς*] *πολέμους.*
815a. *ση(μείωσαι).*
15 **815b.** *Ταῦτα ἀπὸ μεταφορᾶς τῶν ἐν δικαστηρίοις τιθεμένων δύο κάδων εἴρηται, ὧν ὁ εἷς τὴν ἀπολύουσαν ψῆφον, ὁ δὲ τὴν καταδικάζουσαν ἐδέχετο.*
815c. *αἱματηρὸν*] *ἡιματωμένον διὰ τοὺς φόνους.*
815d. *τεῦχος*] *ἀγγεῖον.*
20 **815e.** *οὐ διχορρόπως*] *οὐκ ἀμφιβόλους, ἀλλ' εἰς ἓν μέρος τὴν ἧτταν φερούσας.*
816a. *ἔθεντο*] *ἐνέβαλον.*
816b. *τῶι*] *τῶι τῆς νίκης.*
816c. *κύτει*] *τεύχει.*
25 **817a.** *ἡμέτερα + εἰς μὲν τὸ ἕν, φησί, τεῦχος ἐνέβαλον οἱ θεοὶ φθορᾶς ψήφους καὶ ἀπωλείας, τὸ δὲ ἕτερον τεῦχος οὐ πλῆρες ὄν, ἀλλ' ἔτι κενὸν ἐλπίδα εἶχε χειρὸς πεμπούσης ψῆφον δηλονότι, ἤγουν ἤλπιζέ ποτε καὶ αὐτὸ πληρωθήσεσθαι ὑπὸ ψήφων. εἴασε δὲ τὸν λόγον ἀτελῆ· οὐ γὰρ εἶπεν εἰ ἐπλήρωσαν καὶ αὐτὸ ψήφων. τοῦτο δὲ πεποίηκεν, ἐπεὶ* 30 *δῆλον γέγονε τίνες τὴν νικῶσαν ψῆφον ἐδέξαντο.*
817b. *προσήιει*] *προσῆλθε.*
817c. *χειρὸς*] *πεμπούσης τὴν ψῆφον.*
817d. *οὐ πληρουμένωι*] *ἀλλὰ κενῶι ὄντι.*
818a. *καπνῶι*] *ἐν.*
35 **818b.** *ἁλοῦσα*] *ἁλοῦσα δὲ ἡ πόλις.*

25 *ἡμέτερα*] sch. 817a. 826d || 28 *πληρωθήσεσθαι* van Heusde *πληρωθήσεται* T

818c. *εὔσημος*] *ἐπίσημος τῶι καπνῶι.*
819. *θύελλαι*] *τῆς φθορᾶς αἱ πνοαὶ ἔτι διαμένουσι καὶ οὐκ ἔληξαν.*
820. *σποδὸς*] *ἤγουν ἡ πόλις νεκρωθεῖσα καὶ σποδὸς γενομένη προέπεμψε καὶ ἀνέδωκεν ἡμῖν πολλοὺς θησαυρούς.*
821. *πολύμνηστον*] *ἀείμνηστον.* 5
822a. *τίνειν*] *διδόναι.*
822b. *παγὰς*] *τὰς καθ' ἡμῶν ἐκείνων μηχανὰς καὶ τοὺς δόλους.*
822c. *ὑπερκότους*] *ὀργίλους.*
823. *ἐπραξάμεθα*] *ἀπητήσαμεν ἤτοι καθείλομεν.*
824a. *διημάθυνεν*] *ἠφάνισεν.* 10
824b. *Ἀργεῖον*] *ἤτοι οἱ Ἀργεῖοι.*
824c. *δάκος*] *τὸ θηρίον.*
825a. *ἵππου*] *πήδημα.*
825b. *νεοσσὸς*] *ὁ νέος λαός.*
825c. *ἀσπιδοστρόφος*] *ὁ ὁπλιτικὸς ἀπὸ μέρους.* 15
826a. *πήδημα*] *ἐνταῦθα τὸ ἵππου.*
826b. *ὀρούσας*] *ὁρμήσας, πηδήσας δίκην ἵππου.*
826c. *ἀμφὶ Πλειάδων δύσιν*] *ἤγουν κατὰ τὸ μετόπωρον.*
826d. + *ὅτι Πλειάδων ἑώα ἐπιτολὴ γίνεται τοῦ ἡλίου διελθόντος τὸν Ταῦρον — οὗ μέρος εἰσὶν αὗται· οὐρὰν γὰρ τούτου ταύτας εἶναί φασι —* 20 *καὶ τοὺς Διδύμους περιπολοῦντος, ἤτοι κατὰ τὴν τοῦ θέρους ἀρχήν, δύσις δ' ἑώα τοῦ ἡλίου τὸν Ζυγὸν ἤδη διερχομένου· τότε γὰρ κατὰ διάμετρον οὖσαι ἑώαν ποιοῦνται δύσιν, ἤτοι κατὰ τὰς τοῦ μετοπώρου ἀρχάς. τότε γάρ, ὥς φασι, τὸν πλοῦν Ἕλληνες ἐποιήσαντο.*
827a. *ὑπερθορὼν*] *ὑπεραναβὰς ὁ λαός.* 25
827b. *πύργον*] *τὴν πόλιν.*
827c. *ὠμηστὴς*] *ὠμοφάγος.*
827d. *λέων*] *ἤγουν ὥσπερ.*
828a. *ἄδην*] *δαψιλῶς.*
828b. *ἔλειξεν*] *ἐλάφυξεν, ἔπιεν.* 30
828c. *τυραννικοῦ*] *βασιλικοῦ καὶ πάντων ἀπὸ τοῦ ὑπερέχοντος.*
829a. *ἐξέτεινα*] *μακρὸν ἐποιησάμην.*
829b. *φροίμιον*] *τὸ προοίμιον τῆς εὐχαριστίας.*

12 sch. Eur. Hipp. 645 sch. Call. hymn. III 84 Et. Gen. B *δάκος* E. M. 246, 34 Hesych. Ba. 188, 14 Eust. 427, 30 ‖ 19—24 sch. Arat. p. 387, 22. 390, 19 (= sch. Hom. *Σ* 486) sch. Procl. Hes. Op. 383 sch. Mosch. Hes. op. 383 (p. 243, 12—18 Gaisford) ‖ 20 Athen. XI 490F sch. Hom. *μ* 62 sch. Pind. Nem. II 17c sch. Arat. 172

830 a. *τὰ] ὄντα δηλονότι.*
830 b. *φρόνημα] εἰς τὴν σὴν γνῶσιν.*
830 c. *μέμνημαι] τὸ γνῶναι δηλονότι τὴν τῶν πολιτῶν γνώμην.*
831 a. *καὶ φημὶ] οὕτως ἔχειν ὡς λέγεις.*
5 **831 b.** *συνήγορον] συνομολογοῦντα ὅτι οἱ μὲν δικαίως ᾤκουν, οἱ δὲ ἀκαίρως.*
832 a. *γνώ(μη).*
832 b. *παύροις] ὀλίγοις.*
832 c. *συγγενὲς] οἰκεῖον.*
10 **833 a.** *ἄνευ] χωρίς.*
833 b. *σέβειν] τιμᾶν, ἔχειν.*
834 a. *δύσφρων] κακόφρων.*
834 b. *ἰὸς] ἤγουν ὁ φθόνος.*
834 c. *καρδίαν] τοῦ φθονεροῦ.*
15 **834 d.** *προσήμενος] προσκαθήμενος.*
835 a. *ἄχθος] βάρος.*
835 b. *διπλοίζει] διπλοῦν ποιεῖ.*
835 c. *πεπαμμένωι] τῶι κεκτημένωι.*
835 d. *νόσον] λέγω.*
20 **836 a.** *πήμασιν] ἤτοι τῶι φθόνωι.*
836 b. *βαρύνεται] δαμάζεται.*
837 a. *θυραῖον] τὸν ξένον τὸν τοῦ εὐτυχοῦντος.*
837 b. *ὄλβον] πλοῦτον, τὴν εὐδαιμονίαν.*
837 c. *στένει] στενάζει.*
25 **838 a.** *ἡμέτερα + καλῶς, φησίν, ἐπίσταμαι τὸ κάτοπτρον τῆς ὁμιλίας, ἤγουν καλῶς οἶδα διακρίνειν τὰς ὁμιλίας τῶν συνόντων μοι, ὡς τὰς ἐμφάσεις τῶν προσώπων τὸ κάτοπτρον, ὥστε τοὺς ἄλλους μὲν τοὺς δοκοῦντας λίαν εἶναι πρευμενεῖς ἐμοὶ ἔγνων εἴδωλον σκιᾶς, τουτέστιν ἀνυποστάτους καὶ οὐδὲν ὄντας, ὡς οὐδὲ τὸ τῆς σκιᾶς εἴδωλον, μόνον 30 δὲ τὸν Ὀδυσσέα φίλον ἀληθῆ καὶ σὺν ἐμοὶ προθύμως τὸ τῆς ἀρχῆς ἅρμα ἐλαύνοντα.*
838 b. *εἰδὼς] γινώσκων ἀκριβῶς τὰ περὶ τούτου.*
838 c. *ἐπίσταμαι] καλῶς γινώσκω.*
839 a. *ση(μείωσαι).*
35 **839 b.** *ὁμιλίας] ἤτοι τὸ δίκην κατόπτρου τὰς ὁμιλίας διακρίνειν.*
839 c. *σκιᾶς] ἤτοι ἀνυπάρκτου ἀνυπαρκτότερον.*

25 *ἡμέτερα*] sch. 838 a. 848 a

840a. *κάρτα*] *λίαν*.
840b. *πρευμενεῖς*] *ἤγουν φίλους, εὐμενῶς διακειμένους*.
841. *ὅσπερ*] *ἤλεγξε γὰρ τὴν μανίαν αὐτοῦ Παλαμήδης*.
842a. *ἕτοιμος*] *πρόχειρος*.
842b. *ἐμοὶ*] *ἤγουν δίκην ἵππου σὺν ἐμοὶ τὸ ἅρμα ἐλαύνων*. 5
845. *πανηγύρει*] *ὡς ἐν ἑορτῆι*.
846. *ὡρ(αῖον)*.
847. *χρονίζον*] *ἤγουν καὶ εἰς τὸν ἑξῆς χρόνον*.
848a. + *ἐκ μεταφορᾶς τῶν ἰατρῶν τοῦτ' εἴρηκε τῶν διὰ φαρμάκων ἰωμένων τὰς νόσους καὶ διὰ καύσεως ἢ τομῆς τῆς διὰ ξυρῶν τὰ σεσηπότα τῶν μελῶν τῶν νοσούντων καθαιρόντων καὶ τὰ τραύματα θεραπευόντων*. 10
848b. *φαρμάκων*] *θεραπευμάτων*.
848c. *παιωνίων*] *θεραπευτικῶν*.
849a. *κέαντες*] *καύσαντες*. 15
849b. *τεμόντες*] *ἐν ξυρῶι*.
849c. *εὐφρόνως*] *εὐτέχνως· φρονήσεως γὰρ ταῦτα δεῖται*.
850a. *πειρασόμεθα*] *ἤτοι σωφρονίσαι τοὺς ἐν πόλει λυμεῶνας*.
850b. *πήματος*] *τῆς βλάβης*.
850c. *τρέψαι*] *ἤγουν ἰάσασθαι*. 20
851. *ἐφεστίους*] *τοὺς κατοικουμένους, οὐ τοὺς ἀοίκους*.
852. *δεξιώσομαι*] *θύσω, φιλοφρονήσομαι*.
853a. *πρόσω*] *ἤγουν ἔμπροσθεν, τουτέστιν εἰς Ἴλιον*.
853b. *πάλιν*] *εἰς τοὐπίσω*.
854a. *ἕσπετ'*] *ἠκολούθησεν ἡμῖν*. 25
854b. *ἐμπέδως*] *βεβαίως, ἀσφαλῶς*.
855a. *ἄνδρες*] *ὦ*.
855b. *πρέσβος*] *τίμιον πρᾶγμα, ἤγουν τίμιοι ἄνδρες*.
856a. *οὐκ αἰσχυνοῦμαι*] *ἤγουν οὐκ αἰδεσθήσομαι*.
856b. *φιλάνορας*] *ἤγουν ὅτι ἐφίλουν ἀπόντα τὸν ἄνδρα*. 30
857a. *γνώ(μη)*.
857b. *ἡμέτερα* + *ἐν χρόνωι δέ· ἤγουν ἡ συνήθεια ἡ διὰ πολλῶν χρόνων γενομένη ἐκβάλλει τὸν φόβον ἀπὸ τῶν ἀνθρώπων καὶ τὴν αἰδῶ, καὶ οὐκέτι αἰδοῦνται ἀλλήλους οἱ ἐν συνηθείαι γενόμενοι, ἀλλ'*

11 *καθαιρόντων* van Heusde *καθαίροντας* **T** | *θεραπευόντων* van Heusde *θεραπεύοντας* **T** || 18 *σωφρονῆσαι* **T** || 32 *ἡμέτερα*] sch. 857b. 869a

ἀναισχύντως καὶ ἀνερυθριάστως καὶ τὰ μυστήρια τούτων ἀλλήλοις ἐκφαίνουσιν.

857c. *δ'] γάρ.*

857d. *ἀποφθίνει] φθείρεται.*

5 **858.** *τάρβος] ὁ φόβος.*

859a. *δύσφορον] τὸν πολλὰ δυσχερῆ μοι φέροντα.*

859b. *βίον] τὴν ζωήν, τὸν χρόνον.*

860. *τοσόνδ'] ἣν ἔζησα ζωὴν ὅσον χρόνον οὗτος ἀπεδήμει εἰς Ἴλιον.*

861a. *ση(μείωσαι).*

10 **861b.** *ἄρσενος δίχα] ἀνδρὸς χωρίς.*

862a. *ἧσθαι] καθῆσθαι.*

862b. *δόμοις] ἐν.*

862c. *ἔκπαγλον] ἐκπληκτικόν.*

863a. *κλύουσαν] ἀκούουσαν.*

15 **863b.** *παλιγκότους] ἤγουν ὕστερον φερούσας λύπην· ἀπὸ μεταφορᾶς τῶν ἐγκοτούντων.*

864a. *ἥκειν] ἔρχεσθαι φέροντα ἡδονὴν δηλονότι.*

864b. *ἐπεισφέρειν] ἐν τοῖς δόμοις.*

865a. *πῆμα] συμφοράν.*

20 **865b.** *λάσκοντας] λέγοντας.*

865c. *δόμοις] ἐν.*

866. *καὶ τραυμάτων] ἤγουν εἰ τραύματα τοσαῦτα ἐλάμβανεν.*

867a. *ἀνὴρ] ἤγουν ὁ Ἀγαμέμνων.*

867b. *ὠχετεύετο] ἤγουν ἐφέρετο· ἐκ μεταφορᾶς τῶν ὀχετῶν.*

25 **868a.** *φάτις] φήμη.*

868b. *πλέω] πλειόνως.*

868c. *λέγειν] ἤγουν ὡς ἔστι λέγειν.*

869a. + *ὡς ἔοικεν ἧκόν τινες ἀγγέλλοντες τρὶς ἀποθανεῖν Ἀγαμέμνονα. καὶ διὰ τοῦτο παρεικάζει τοῦτον τῶι Γηρυόνηι καὶ τρισώματον* 30 *λέγει, οὐ τρικέφαλον. ἐκεῖνος γὰρ ἅπαξ ἀπέθανεν μιᾶι πληγῆι τὰς κεφαλὰς ἀφαιρεθείς, οὗτος δὲ τρισώματος ὢν καὶ τρὶς ἀπέθανεν ἑκάστωι μορφώματι ἅπαξ ἀποθανών, ὥς φησι, καὶ τριπλῆν τὴν περιστέλλουσαν κόνιν δεξάμενος ἄνωθεν. ἐπεὶ δὲ τριπλῆν ἔφη τὴν ἐκ τῆς ταφῆς κόνιν δέξασθαι, διὰ τοῦτο καὶ τὸ ἐ ξ η ύ χ ε ι τέθεικε· τοιούτων γάρ τις* 35 *τυχὼν εἰκότως σεμνύνοιτ' ἄν. ὅρα δὲ πῶς τὸν λόγον πρὸς τὸ χάριεν ἐσχημάτισεν· οὐ γὰρ οἷόν τε τὸν τεθνηκότα αὐχεῖν καὶ σεμνύνεσθαι.*

869b. *ἐπλήθυνον] ἤγουν ὡς οἱ πλείονες ἔλεγον λόγοι.*

870. *ση(μείωσαι).*

871a. *ἄνωθεν] ἄνωθεν γὰρ ἐπιχεῖται ἡ κόνις.*
871b. *οὐ λέγω] ἔχει γὰρ καὶ κάτωθεν γῆν.*
872a. *τρίμοιρον] τριπλῆν.*
872b. *χλαῖναν] τὴν περιστέλλουσαν κόνιν.*
872c. *ἐξηύχει] ἐκαλλωπίζετο, ἐσεμνύνετο.* 5
873a. *ἅπαξ] μίαν.*
873b. *κατθανὼν] ἀποθανών.*
874a. *ἕκατι] χάριν.*
874b. *κληδόνων] μηνυμάτων.*
874c. *παλιγκότων] λυπηρῶν.* 10
875a. *ἀρτάνας] ἤγουν βρόχους δι' ὧν ἀπεπνίγην ἄν.*
875b. *δέρης] τοῦ τραχήλου.*
876. *λελημμένης] ἤγουν ἤδη περιειλημμένης τῆς δέρης τῆι ἀρτάνηι.*
877a. *τῶν] ὧν εἶπον.*
877b. *παῖς] ὁ Ὀρέστης.* 15
877c. *ἐνθάδ'] ἐνταῦθα.*
877d. *οὐ παραστατεῖ] οὐ πάρεστιν.*
878a. *Πιστευμάτων· εἰ μὴ γὰρ πιστεύσωσιν ἀλλήλοις οἱ γονεῖς, οὐχ ὁμολογοῦσιν ἑαυτῶν εἶναι τὸν παῖδα.*
878b. *πιστευμάτων] ἐκεῖνος γὰρ τὴν ἡμῶν πρὸς ἀλλήλους βεβαιοῖ πίστιν.* 20
879a. *ὡς χρῆν] ὡς ἦν πρέπον, ἵνα μή τι πάθηι κακὸν ἀποπνιγείσης ἐμοῦ διὰ τὸ τῆς ἡλικίας ἄωρον.*
879b. *μὴ δὲ] ὅτι ἔκ τινος δόλου γέγονε.*
880a. *τρέφει] ἐκτρέφει.* 25
880b. *εὐμενὴς] εὐνοϊκῶς πρὸς ἡμᾶς διακείμενος, φίλος.*
881a. *ὁ Φωκεὺς] ὁ εἰς Φώκην οἰκῶν.*
881b. *Τὰ ἀμφιβαλλόμενα περὶ σοῦ πήματα, ἤτοι τὰ ὑπὸ τοῦ δήμου κατὰ σοῦ πεπλασμένα δεινὰ μηνύματα.*
881c. *ἀμφίλεκτα] τὰ ποτὲ μὲν ζῶντα, ποτὲ δὲ τεθνηκότα σε μηνύοντα.* 30
882a. *προφωνῶν] γνωρίζων, προμηνύων.*
882b. *τ' ὑπ'] Ἰωνικόν.*
882c. *σέθεν] σοῦ.*
883a. *κίνδυνον] τὸν σὸν θάνατον.*
883b. *δημόθρους] ἡ θορυβοποιός.* 35
884a. *γνώ(μη).*

11 *ἀπεπνίγην* Smith *ἀπεπνίγειν* T

884b. *βουλὴν*] *ἐπιβουλήν.*
884c. *καταρρίψειεν*] *καὶ εἰ καταρρίψειε καὶ ἐπάξει ἐμοὶ ἐπιβουλὴν ὁ δῆμος.*
884d. *Πεφύκασί πως, φησίν, οἱ ἄνθρωποι ἐπεμβαίνειν τοῖς ἀτυχοῦ-*
5 *σιν.*
884e. *σύγγονον*] *συγγενές ἐστι καὶ φίλον.*
885a. *βροτοῖσι*] *τοῖς ἀνθρώποις.*
885b. *λακτίσαι*] *καθυβρίσαι, τῶι ποδὶ ἐπιβῆναι.*
886a. *τοιάδε*] *ἡ.*
10 **886b.** *τοιάδε*] *ἡ κατὰ τὸν Ὀρέστην.*
886c. *σκῆψις*] *πρόφασις, οἰκονομία.*
886d. *οὐ δόλον*] *οὐκ ἔστι δολερά.*
887a. *κλαυμάτων*] *θρήνων, δακρύων.*
887b. *ἐπίσσυτοι*] *αἱ ἐπερχόμεναι.*
15 **888a.** *κατεσβήκασιν*] *ἤγουν οὐκ ἐθρήνουν ἐν ἡμέραι.*
888b. *οὐδ᾽ ἔνι*] *ἤγουν οὐκ ἦν ἐμοί.*
888c. *σταγών*] *δακρύων.*
889a. *ὀψικοίτοις*] *τοῖς βραδέως κοιταζομένοις.*
889b. *βλάβας*] *ἤτοι κλαυθμούς.*
20 **889c.** *ἔχω*] *ἀντὶ τοῦ εἶχον.*
890a. *ἤγουν τοὺς περιεστῶτάς σε κατὰ τὰς νύκτας λαμπαδούχους ὁρῶσα ἠμελημένους ἐθρήνουν ἀεί.*
890b. *κλαίουσα*] *αἰέν.*
891. *ἀτημελήτους*] *ἠμελημένας.*
25 **892.** *ὑπαὶ*] *ὑπό.*
893a. *ῥιπαῖσι*] *τῶν πτερύγων κινήσεσι.*
893b. *θωΰσσοντος*] *βομβοῦντος.*
893c. *ἀμφὶ*] *περὶ σοῦ.*
893d. *πάθη*] *παθήματα, θλίψεις.*
30 **894a.** *πλείω*] *πλείονα.*
894b. *τοῦ συνεύδοντος*] *ἤτοι τοῦ χρόνου ὃν ἐκάθευδον.*
895a. *τλᾶσα*] *ὑπομείνασα.*
895b. *ἀπενθήτωι*] *ληξάσηι τοῦ πένθους.*
896a. *ση(μείωσαι).*
35 **896b.** *λέγοιμ᾽ ἂν*] *ἐνταῦθα τὸ νῦν.*
896c. *ἄνδρα*] *τὸν Ἀγαμέμνονα.*
896d. *σταθμῶν*] *ἐπαύλεων.*
897a. *σωτῆρα*] *φύλακα.*

897b. *πρότονον*] *σχοινίον δι' οὗ τείνουσι τὸ ἱστίον.*
897c. *ὑψηλῆς στέγης*] *μεγάλης οἰκίας.*
898a. *ποδήρη*] *δίκην ποδὸς ἱστάμενον.*
898b. *Ποδῆρες κυρίως λέγεται τὸ μέχρι ποδῶν διῆκον ἱμάτιον.*
899. *ναυτίλοις*] *ναύταις.* 5
900a. *ἦμαρ*] *ἡμέραν.*
900b. *εἰσιδεῖν*] *ὥστε.*
900c. *εἰσιδεῖν*] *ἰδεῖν.*
900d. *ἐκ χείματος*] *ἐκ χειμῶνος.*
901. *ῥέος*] *ῥεῦμα.* 10
902a. *ἤγουν εὐφραντόν ἐστι τὸ διαφυγεῖν τινα πᾶν τὸ ἐξ ἀνάγκης ἐπελθὸν δυσχερές.*
902b. *δὲ*] *γάρ.*
903a. *τοιοῖσδε*] *τοιούτοις οἵοις εἶπον.*
903b. *ἀξιῶ*] *σε.* 15
903c. *προσφθέγμασιν*] *ὀνόμασι προσφωνητικοῖς.*
904a. *ἀπέστω*] *πόρρω γενέσθω.*
904b. *κακὰ*] *δυσχερῆ.*
905a. *ἠνειχόμεσθα*] *ὑπεμείναμεν. σοῦ δὲ φανέντος ἐκείνων ἠλευθερώθημεν.* 20
905b. *φίλον*] *προσφιλές.*
905c. *κάρα*] *ὦ.*
906. *ἀπήνης*] *τοῦ ἅρματος· ἐπὶ ἅρματος γὰρ ὠχεῖτο.*
907a. *πορθήτορα*] *τόν.*
907b. *πορθήτορα*] *ἤτοι τὸν πορθήσαντα τὸ Ἴλιον.* 25
908a. *δμωαὶ*] *ὦ δοῦλαι.*
908b. *μέλλεθ'*] *βραδύνετε.*
908c. *ἐπέσταλται*] *προστέτακται.*
909a. *πέδον*] *τὴν ἐπιφάνειαν.*
909b. *κελεύθου*] *τῆς ὁδοῦ.* 30
909c. *στρωννύναι*] *καταστρῶσαι.*
909d. *πετάσμασιν*] *ἐκτεταμένοις πέπλοις.*
910a. *πορφυρόστρωτος*] *πορφυροῖς πέπλοις ἐστρωμένος.*
910b. *πόρος*] *ἡ ὁδός.*

1 sch. A. R. I 564a sch. D Hom. *A* 434 E. M. 691, 14 Eust. 130, 43 || 4 cf. Hesych. *ποδήρης* Phot.

19 *ὑπεμείναμεν* Smith *ὑπεμείνομεν* T[pc] *ὑπεμένομεν* T[ac]

911 a. *ἄελπτον] οὐ γὰρ ἤλπιζεν ὑποστρέψαι.*
911 b. *ἡγῆται] νομίζῃ, ἤγουν ὡς ἔστι δίκαιον.*
912 a. *Ἴσως ἵνα δίκας αὐτὸν ἀπαιτήσῃ τοῦτό φησιν ἕνεκα τοῦ φόνου τῆς θυγατρός.*
5 **912 b.** *φροντὶς] ἡ ἡμετέρα μέριμνα.*
912 c. *νικωμένη] ἤγουν οὐ ῥαθυμίαι νικηθεῖσα.*
913 a. *θήσει] ποιήσει.*
913 b. *δικαίως] ἐπεὶ καὶ αὐτὸς τὴν ἐμὴν ἀπέκτεινε θυγατέρα.*
913 c. *εἱμαρμένα] οὕτω πεπρωμένα παρὰ θεῶν.*
10 **914 a.** *γένεθλον] ὦ.*
914 b. *γένεθλον] τέκνον.*
915 a. *ἀπουσίαι] τῆι ἀποδημίαι.*
915 b. *εἶπας] ταῦτα γενέσθαι σοι.*
916 a. *ἐξέτεινας] τοὺς λόγους.*
15 **916 b.** *ἐναισίμως] δικαίως, προσηκόντως.*
917 a. *Ἀλλὰ χρὴ τοῦτο τὸ γέρας ἔρχεσθαι παρ' ἄλλων, τὸ αἰνεῖσθαι δηλονότι, καὶ μὴ παρὰ τῶν οἰκείων ἢ παρ' ἑαυτῶν.*
917 b. *αἰνεῖν] τινά.*
917 c. *παρ' ἄλλων] ὅρα τὴν σύνταξιν.*
20 **917 d.** *ἔρχεσθαι] τινί.*
917 e. *γέρας] τιμή.*
918. *μὴ γυναικὸς] ἤγουν μὴ ὡς γυνὴ φρονοῦσα ἢ μὴ ὡς ἔθος ταῖς γυναιξὶ καλλωπίζεσθαι.*
919 a. *ἅβρυνε] καλλώπιζε.*
25 **919 b.** *Μὴ ὡς βαρβάρωι μοι κέλευε θρύπτεσθαι· οἱ βάρβαροι γὰρ γονυκλισίαις τοὺς βασιλεῖς εὐφημοῦσιν.*
919 c. *φωτὸς] ἀνδρός.*
919 d. *δίκην] τρόπον.*
920 a. *χαμαιπετὲς] διὰ γονυκλισίας γενόμενον προσφώνημα.*
30 **920 b.** *προσχάνῃς] προσφωνήσῃς.*
921 a. *εἵμασι] πέπλοις.*
921 b. *στρώσας] ὑπό.*
921 c. *ἐπίφθονον] ἐπίψογον· μέμψονται γὰρ οἱ φθονοῦντες τὴν ὁδόν.*
922 a. *ση(μείωσαι).*
35 **922 b.** *τίθει] ποίει.*
922 c. *τοῖς] τοῖς τοιούτοις εὑρήμασι.*

15 cf. sch. uet. 916 || **24** cf. sch. uet. 919

922d. *τιμαλφεῖν] τιμᾶν.*
922e. *χρεών] πρέπον.*
923. *ἐν ποικίλοις] ἐν ὑποστρώμασι κεκαλλωπισμένοις.*
924a. *βαίνειν] πορεύεσθαι.*
924b. *οὐδαμῶς] ἐστίν.* 5
924c. *φόβου] φοβοῦμαι γὰρ τοὺς θεούς.*
925a. *κατ' ἄνδρα] ὡς πρέπει τιμᾶν ἄνδρα, μὴ ὡς θεόν.*
925b. *σέβειν] τιμᾶν.*
926a. *ἡμέτερα + ἀπὸ μεταφορᾶς τῶν πέπλων δι' ὧν τοὺς πόδας ἐκμάσσοντες λαμπροτέρους ποιοῦσιν οἱ τούτους ἐκπλύνοντες συν-* 10 *εχῶς τοῦτ' εἰρήκει. ποδόψηστρα γὰρ κυρίως ταῦτα λέγεται. νῦν δὲ τὰ ὑπὸ τοὺς πόδας ἁπλῶς πέπλα οὕτως εἴρηκεν.*
926b. *ποδοψήστρων] δι' ὧν οἱ πόδες λαμπρύνονται. κυρίως δὲ τὰ τοὺς πόδας ἐκμάσσοντα πέπλα οὕτω λέγεται.*
927a. *κληδὼν] ἡ φήμη.* 15
927b. *ἀντεῖ] βοᾶι τὰ καθ' ἡμᾶς δηλονότι.*
927c. *τὸ μὴ] ἤτοι τὸ μὴ μέγα φρονεῖν ἐπὶ τούτωι.*
928a. *ὡρ(αῖον).*
928b. *ὀλβίσαι] εὐδαιμονίσαι τινά.*
928c. *χρή] πρέπει.* 20
929a. *βίον] τὴν ζωήν.*
929b. *τελευτήσαντ'] τελέσαντα.*
929c. *ἐν εὐεστοῖ] ἐν εὐτυχίαι καὶ εὐθυμίαι.*
929d. *φίληι] προσφιλεῖ.*
930a. *+ εἰ οὕτω, φησί, πράσσοιμι κατὰ πάντα ὥστε μὴ μέγα φρονεῖν* 25 *ἐπὶ ταῖς εὐτυχίαις μηδὲ πρὸ τελευτῆς ἄνθρωπον μακαρίζειν, ἀλλὰ τὸν τὸ τέλος τοῦ βίου δεξάμενον ἐν τῆι εὐτυχίαι, εἰκότως ἂν εἴην θαρρῶν ὡς καὶ αὐτὸς ἀεὶ εὐτυχοίην ἄν. οἱ γὰρ μέτρια φρονοῦντες εὖ ἀεὶ πράσσουσιν.*
930b. *πάντα] κατά.* 30
930c. *ὡς πράσσοιμ' ἂν] οὕτω ἤγουν εὐτυχῶς ἢ οὕτως ὥστε μὴ φρονεῖν κακῶς.*
931a. *τόδ'] ὅπερ μέλλω ἐρωτᾶν.*
931b. *μὴ παρὰ γνώμην] ἀλλ' ἑκουσίως.*

13 cf. sch. uet. 926

9 *ἡμέτερα*] sch. 926a. 930a

932a. *γνώμην*] *τὴν γνῶσιν λέγει ἐνταῦθα.*
932b. *ἴσθι*] *γίνωσκε ὅτι οὐ διεφθάρην τὴν γνῶσιν, ἀλλ' ἔτι σώζω αὐτήν.*
933a. *δείσας*] *φοβηθεὶς μὴ ἀποτύχῃς τῆς νίκης.*
5 **933b.** *ὧδ'*] *οὕτως.*
933c. *ἔρδειν*] *πράττειν.*
934a. *τις*] *ἐξεῖπεν.*
934b. *τόδ'*] *τὸ τέλος.*
934c. *τέλος*] *τὸ τῆς νίκης.*
10 **935a.** *ἂν*] *ἐποίησεν.*
935b. *εἰ τάδ'*] *τὸ νικῆσαι ὑμᾶς.*
935c. *ἤνυσε*] *ἐπλήρωσεν, εἰς τέλος ἤγαγεν.*
936a. *ἐν ποικίλοις*] *ἐν λίαν ποικίλοις.*
936b. *κάρτα*] *λίαν.*
15 **936c.** *βῆναι*] *ἐπιβῆναι.*
937a. *ἡμέτερα* + *καθ' ὁμαλισμὸν ἀναγνωστέον τὸ νυν καὶ ἄνευ τόνου, ἵν' εἴη ἀντὶ τοῦ δή.*
937b. *νυν*] *δή.*
937c. *ἀνθρώπειον*] *τὸν τῶν ἀνθρώπων.*
20 **937d.** *αἰδεσθῇς*] *φοβηθείς.*
938a. + *ἡ τοῦ δήμου, φησί, φήμη μέγα δύναται, ἤτοι ὅταν φημίζῃ δῆμός τινα ἐπὶ κακῶι, κακόν ἐστι μέγιστον καὶ χαλεπὸν φέρει κίνδυνον. τάδε γὰρ καὶ Ἡσίοδός φησι· φήμη δ' οὐ πάμπαν ἀπόλλυται ἥν πολλοὶ λαοὶ φημίζουσιν.*
25 **938b.** *φήμη*] *ἤγουν μέγα ἐστὶ τὸ ὑπὸ δήμου ψέγεσθαι.*
938c. *δημόθρους*] *ἡ ὑπὸ τοῦ δήμου φημιζομένη.*
938d. *σθένει*] *δύναται.*
939a. *ὅ*] *ὁ μὴ ὑπό τινος φθονούμενος.*
939b. *ἐπίζηλος*] *ζηλωτός, μακαριστής.*
30 **939c.** *πέλει*] *ὑπάρχει.*
940a. *ἱμείρειν*] *ἤγουν ἐπιθυμεῖν μάχεσθαι καὶ νικᾶν.*
940b. *ὡραῖον.*
941a. *ὀλβίοις*] *τοῖς εὐδαίμοσι καὶ ἐνδόξοις.*
941b. *νικᾶσθαι*] *ὥστε καὶ σοὶ πρέπει ἡττηθῆναι ἐμοῦ.*
35 **942a.** *ἦ*] *ἆρα.*
942b. *τήνδε*] *ἤγουν τὴν διὰ φιλονεικίαν μάχην.*

16 *ἡμέτερα*] sch. 937a. 938a. 948a || 23—24 Hes. Op. 763—764

942 c. *δήριος] μάχης.*
942 d. *τίεις] τιμᾶις.*
943 a. *κράτος] ἤγουν τὸ κρατῆσαι νῦν σοῦ.*
943 b. *πάρες] ἄφες, δός.*
944 a. *δοκεῖ] ἀρέσκει.* 5
944 b. *ταῦθ'] τὸ ἡττηθῆναι με.*
944 c. *ὑπαὶ] ὑπολύοι ἀντὶ τοῦ ὑπολυσάτω.*
944 d. *ἀρβύλας] τὰ ὑποδήματα.*
945 a. *τάχος] λέγω.*
945 b. *τάχος πρόδουλον] ἤγουν ταχυτὴς τῶν προτέρων δούλων.* 10
945 c. *ἔμβασιν] τὰς ἐμβάδας.*
946 a. *τοῖς] τοῖς ὑποδήμασιν.*
946 b. *ἐμβαίνοντ'] περιπατοῦντα.*
946 c. *ἁλουργέσιν] πορφυροῖς.*
947 a. *πρόσωθεν] πόρρωθεν.* 15
947 b. *ὄμματος] ἤγουν μή τις τῶν θεῶν ἰδὼν βλάψηι με ὑπὸ φθόνου.*
948 a. + *αἰσχύνη, φησίν, ἐστι πολλὴ φθείρειν ἄνδρα τινὰ καὶ τὰ σώματα τῶν ὑπὸ χεῖρα αὐτοῦ, ἤτοι διὰ πολέμων φθείρειν τοὺς ὑπὸ χεῖρα, πρὸς δὲ τούτοις καὶ τὸν αὐτοῦ πλοῦτον καταναλίσκειν κακῶς καὶ τὰ πέπλα τὰ δι' ἀργύρου ὠνηθέντα πατεῖν καὶ ἄχρηστα ποιεῖν τοῦ λοιποῦ·* 20 *σὺν γὰρ τῶι ζημίαν εἶναι μεγίστην ταῦτα καὶ φθορὰν τῆς ἀρχῆς καὶ φθόνον οὐ μόνον παρ' ἀνθρώπων ἐπάγει, ἀλλὰ καὶ παρὰ θεῶν. τοῖς ὑπερηφάνοις γὰρ τὸ θεῖον μάχεται.*
948 b. *αἰδὼς] αἰσχύνει.*
948 c. *σωματοφθορεῖν] τὰ σώματα φθείρειν τῶν ὑπὸ χεῖρα.* 25
948 d. *πόσιν] ἄνδρα ἁπλῶς.*
949 a. *φθείροντα] κακῶς ἀναλίσκοντα.*
949 b. *ἀργυρωνήτους] δι' ἀργύρου ὠνηθείσας.*
949 c. *ὑφὰς] ὑφάσματα.*
950 a. *τούτων] ἕνεκα.* 30
950 b. *οὕτω] γενέσθαι δηλονότι.*
950 c. *τὴν ξένην] τὴν Κασάνδραν.*
950 d. *πρευμενῶς] ἡμέρως.*
951 a. *γνώ(μη).*
951 b. *ἐσκόμιζε] εἴσω τῶν οἴκων.* 35
951 c. *τὸν κρατοῦντα] ἄρχοντα.*

8 sch. Theocr. VII 26b sch. Lycophr. 839

951d. *μαλθακῶς*] *ταπεινῶς.*
952a. *πρόσωθεν*] *πόρρωθεν.*
952b. *εὐμενῶς*] *ἡμέρως.*
952c. *προσδέρκεται*] *προσβλέπει.*
5 **953a.** *ἑκὼν γὰρ*] *ἤγουν οὐδεὶς ἑκὼν ποτὲ δοῦλος γίνεται.*
953b. *δουλίῳι*] *διὰ τὸ μέτρον.*
954a. *χρημάτων*] *ἤτοι τῶν λαφύρων.*
954b. *ἐξαίρετον*] *ἔκκριτον.*
955a. *ἄνθος*] *καλλώπισμα.*
10 **955b.** *ξυνέσπετο*] *ἠκολούθησεν.*
956a. *ἡμέτερα* + *εὕρηται καὶ κατέστραμμαι, ἤγουν κατεβλήθην καὶ ἡττήθην ὥστε ἀκούειν σοῦ τάδε, ἤτοι ὑπακοῦσαι εἰς ταῦτα, ὃ δὴ ἀπὸ μεταφορᾶς τῶν πεπορθημένων καὶ κατεστραμμένων πόλεων εἴρηται.*
15 **956b.** *κατέσταμαι*] *Ἰωνικόν, κατέστην.*
957a. *εἶμ'*] *πορεύσομαι.*
957b. *μέλαθρα*] *ἤτοι τοὺς θαλάμους.*
957c. *πορφύρας*] *πέπλα πορφυρᾶ.*
958a. *νιν*] *αὐτήν.*
20 **958b.** *κατασβέσει*] *παύσει τοῦ τρέφειν.*
959a. *ση(μείωσαι).*
959b. *πορφύρας*] *κογχύλης.*
959c. *ἄργυρον*] *ἤγουν δι' ἀργύρου ὠνουμένην.*
960a. *παγκαίνιστον*] *διόλου νεάζουσαν.*
25 **960b.** *εἱμάτων*] *ἱματίων.*
960c. *βαφάς*] *λέγω.*
961a. *οἶκος*] *ὁ ἡμέτερος.*
961b. *ὑπάρχει*] *ἔχειν.*
961c. *τῶνδε*] *ἕνεκα.*
30 **961d.** *τῶνδε*] *ἤγουν τοῦ ὠνεῖσθαι τὰ τοιαῦτα.*
961e. *ἄναξ*] *ὦ.*
962a. *πένεσθαι*] *ἤγουν οὐ πένεται.*
962b. *ἐπίσταται*] *γινώσκει.*
963a. + *προενεχθέντος, φησί, καὶ προκομισθέντος καὶ προλεχθέντος* 35 *ἐν τοῖς χρηστηρίοις καὶ μαντικοῖς δόμοις τούτου, τοῦ ὑποστρέψαι σε δηλονότι μετὰ νίκης καὶ σεσωσμένον, ηὐξάμην ἂν πολλῶν δειμάτων*

2 *πόρρωθεν* **Ta** *προόρρωθεν* **T** || 11 *ἡμέτερα*] sch. 956a. 963a

καὶ φόβων πατησμόν, ἤτοι καταπάτησιν καὶ οἷον ἀπώλειαν, μηχανωμένης τῆς ψυχῆς μου καὶ κατασκευαζούσης κομιστήρια. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν, ὅτι εἴπερ οἱ μαντικοὶ τῶν θεῶν οἶκοι προεῖπόν μοι περὶ τῆς σῆς ὑποστροφῆς, ηὐξάμην ἂν πάντα φόβον διασκεδασθῆναι πατηθέντα καὶ εἰς ἀπώλειαν χωρήσαντα, καὶ κομιστήρια τοιαῦτα ἂν κατεσκεύασα καὶ ἐμηχανησάμην. νῦν οὖν, ἐπεὶ ἀνελπίστως εἶδόν σε, δέξαι καὶ ἅπερ ὑπὸ τῆς χαρᾶς σοι κατεσκεύασα. δέον δὲ εἰπεῖν, ὥσπερ γὰρ ῥίζης οὔσης ἡ φυλλὰς θάλλουσα ἔρχεται εἰς δόμους, οὕτω καὶ σοῦ ἐλθόντος εἰς τὸν οἶκον ἐκ χειμῶνος θάλπος ἐδέξατο, ὁ δὲ συνήθως καινόσχημον τὸν λόγον ἐξήνεγκεν, ὡς πολλάκις εἴρηται. 10

963b. *πατησμὸν] καταπάτησιν καὶ οἷον ἀπώλειαν.*

963c. *δειμάτων] φόβων τῶν τῆς ὑποστροφῆς.*

964a. *προυνεχθέντος] προκομισθέντος, προλεχθέντος τούτου.*

964b. *ἐν χρηστηρίοις] μαντικοῖς.*

965a. *κόμιστρα] κομιστήρια.* 15

965b. *μηχανωμένης] κατασκευαζούσης.*

966a. *ὡρ(αῖον).*

966b. *φυλλὰς] φύλλα ἢ καρπός.*

966c. *ἵκετ'] ἦλθεν.*

967a. *ὑπερτείνασα] ὑπερδραμοῦσα, διελθοῦσα.* 20

967b. *σειρίου] τοῦ κυνάστρου· ἤγουν μὴ ξηρανθεῖσα ὑπὸ τοῦ ἐν τούτωι καύματος.*

968a. *μολόντος] ἐλθόντος.*

968b. *δωματῖτιν] ἤτοι εἰς τοὺς κατ' οἶκον θαλάμους.*

969a. *θάλπος] καιρὸν θέρους.* 25

969b. *σημαίνεις] δηλοῖς.*

970a. *τεύχηι] ποιῆι.*

970b. *Ζεὺς] ὁ.*

970c. *ὄμφακος] ἀώρων βοτρύων.*

971a. *οἶνον] ἤτοι κατὰ τὸ μετόπωρον.* 30

971b. *ψῦχος] ἤτοι χειμών.*

971c. *πέλει] ὑπάρχει.*

972a. *τελείου] μεγίστου, ἐν τέλει καὶ ἐξουσίαι ὄντος.*

972b. *ἐπιστροφωμένου] ἀναστρεφομένου.*

973a. *Ζεῦ] ὦ.* 35

973b. *τέλειε] ἐντελέστατε· τοιοῦτον γὰρ τὸ θεῖον.*

10 *εἴρηται]* cf. sch. 321b. 387b

973 c. *τέλει*] *πλήρου.*
974 a. *μέλοι*] *φροντὶς ἔστω σοι· πληροῦσι γάρ τινες καὶ παρέργως τι.*
974 b. *τελεῖν*] *πληροῦν.*
975 a. *στροφὴ κώλων ιγ'.*
5 **975 b.** + *τίπτε μοι τόδε· τὰ τοιαῦτα εἴδη τῶν χορῶν καλεῖται κατὰ σχέσιν καὶ ἐξ ὁμοίων, ὡς εἴρηται. εἰσὶ δὲ τὰ παρόντα στροφῶν δύο καὶ ἔστι τῆς μὲν πρώτης στροφῆς τὰ κῶλα ιγ' καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα, τῆς δὲ δευτέρας ιε' καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα, ὧν τελευταῖον· ζωπυρουμένας φρενάς· ἃ καὶ μετρήσεις τοῖς* 10 *προειρημένοις ἑπόμενος. ἐπὶ τῶι τέλει ἑκάστης στροφῆς καὶ ἀντιστροφῆς παράγραφος, ἐπὶ δὲ τῶι τέλει πασῶν κορωνίς.*
975 c. + *τίπτε μοι τόδ' ἐμπέδως· ἰδὼν ὁ χορὸς ὅτι Ἀγαμέμνων μὲν σὺν ὀλίγοις τοῖς περὶ αὐτὸν ὑπέστρεψεν, οἱ δὲ λοιποὶ τῶν στρατευσάντων οὔπω, προμαντευόμενος οἷον ὡς οὐ πάντες ὑποστρέψουσιν,* 15 *ἀλλ' ὀλίγοι, φησί· τί ἄρα δεῖμα καὶ φόβημα ποτᾶται καὶ ἐπέρχεται ἐπ' ἐμοὶ ἐμπέδως καὶ βεβαίως τόδε, ἤγουν ὅπερ ἐπῆλθέ μοι, προστατήριον καὶ ἄρχον τῆς καρδίας μου τῆς τερασκόπου, ἄμισθος λέγω ἀοιδή, ἤγουν τίς ἐστιν ἡ μαντεία ἥτις περιπολεῖ ἐπὶ τὴν τερατοσκόπον καρδίαν μου καὶ ποιεῖ αὐτὴν φοβεῖσθαι; μαντιπολεῖ γὰρ καὶ μαντεύεται ἡ* 20 *καρδία μου δηλονότι ἀκέλευστος, ἤτοι μὴ ὑπό τινος κινουμένη ὡς οἱ ἄλλοι μάντεις — ἐμπνεόμενοι γὰρ ὑπὸ θεῶν ἐμαντεύοντο — ἀλλ' ἀφ' ἑαυτῆς δηλονότι μαντεύεται, οὐδὲ ἵξει ἐπὶ τὸν φίλον θρόνον τῆς φρενός μου θάρσος εὐπιθὲς καὶ εὔπιστον, ὥστε ἀποπτύσαι καὶ ἀποβαλεῖν τοῦτο δίκην καὶ τρόπον ὀνειράτων δυσκρίτων καὶ δυσνοήτων, ἤγουν οὐδὲ* 25 *ἰσχύν τινα βεβαίαν ἡ ἡμετέρα λήψεται γνῶσις, ὥστε ἀποβαλεῖν ἃ κατὰ φαντασίαν ἐπῆλθεν αὐτῆι.*
975 d. *τίπτε*] *τί ἄρα ποτᾶται.*
975 e. *ἐμπέδως*] *βεβαίως.*
976 a. *δεῖμα*] *φόβος.*
30 **976 b.** *προστατήριον*] *ἄρχον ἤγουν κυριεῦον τὴν καρδίαν.*
977. *τερασκόπου*] *τέρατα σκοπουμένης καὶ προορώσης.*
978 a. *ποτᾶται*] *ἐπέρχεται ἐπ' ἐμοί.*
978 b. *ἄμισθος*] *τινὲς γὰρ ἐπὶ μισθῶι ἐμαντεύοντο.*
978 c. *ἀοιδά*] *ὠιδὴ ἤγουν μαντεία.*
35 **979 a.** *μαντιπολεῖ*] *μαντεύεται ἡ καρδία μου.*
979 b. *ἀκέλευστος*] *μὴ ὑπό τινος κινουμένη, ἀλλ' ἀφ' ἑαυτῆς.*

9 u. 1034 || **31** *προωρώσης* **T**

980a. *οὐδ' ἀποπτύσαι*] ἴξει θάρσος ἐπὶ τὸν θρόνον τῆς φρενὸς ὥστε ἀποβαλεῖν τοῦτο.
980b. *δίκαν*] τρόπον.
981. *δυσκρίτων*] δυσνοήτων.
982. *εὐπιθὲς*] εὔπιστον. 5
983a. *θρόνον*] ἤγουν ἐπὶ τὸ ὕψος τῆς ἡμετέρας γνώσεως· ἐν θρόνωι γὰρ οἱ μάντεις ἐκάθιζον.
983b. *χρόνος*] παρήβησεν, ἤγουν ἐγήρασεν ἐκείνοις.
983c. *δ'*] γάρ.
984a. *πρυμνησίων*] ἤτοι ἐπὶ τῶν πρυμνῶν τῆς ἀκάτης. 10
984b. *ξυνεμβόλοις*] τοῖς συνεισελθοῦσιν Ἕλλησιν.
985a. *ψαμμίας*] τῆς ἐν ψάμμωι ἑλκυσθείσης.
985b. *ἀκάτας*] νεώς.
985c. *παρήβησ'*] ἐγήρασεν, ἔξω τῆς ἥβης ἐγένετο.
986. *εὖθ'*] ὁπηνίκα. 15
987a. *ὦρτο*] ἐκινήθη.
987b. *ναυβάτας*] ὁ ναυτικός.
988a. *ἀντιστροφὴ κώλων ιγ'.*
988b. *πεύθομαι*] μανθάνω.
988c. *ἀπ' ὀμμάτων*] ἤγουν ὁρῶ αὐτοὺς ὑποστρέφοντας. 20
989. *αὐτόμαρτυς*] οὐ γὰρ παρ' ἄλλων τοῦτο μανθάνω.
990. *ἄνευ λύρας*] μουσικῆς χαρμοσύνου.
991a. *ὕμνωι*] ἄιδει.
991b. *Ἐρινὺς*] ἡ φθορά.
992. *αὐτοδίδακτος*] ἀφ' ἑαυτοῦ μανθάνων. 25
993a. *θυμὸς*] πεύθεται, μανθάνει.
993b. *οὐ τὸ πᾶν ἔχων*] ἤγουν οὐ τελείως ἐλπίζων οὐδὲ θαρρῶν. ἀμφισβητεῖ γὰρ ὁ θυμόμαντις.
995a. *σπλάγχνα*] ἤγουν ἡ καρδία μου.
995b. *ματάζει*] ματαιάζει, μάταια λογίζεται. 30
996a. *πρὸς*] σύν.
996b. *φρεσὶν*] ἤγουν λογισμοῖς.
996c. *τελεσφόροις*] τετελεσμένοις.
997a. *δίναις*] στροφαῖς, ἤγουν πολλοὺς λογισμοὺς ἀνελίσσει καθ' ἑαυτό. 35
997b. *κέαρ*] τό.
997c. *κέαρ*] λέγω.
999. *ψύδη*] ἤγουν ψευδῆ ἀποβῆναι καὶ ἀτέλεστα.

1001 a. *στροφὴ ἑτέρα κώλων ιε΄.*
1001 b. *ὡρ(αῖον).*
1001 c. *τοι] γάρ.*
1001 d. *τᾶς πολλᾶς ὑγιείας] ἤγουν τὸ πολλὰ ὑγιαίνειν ἀκόρεστόν ἐστιν.*
5 **1002.** *τέρμα] τὸ τέλος.*
1003 a. *ὁμότοιχος] τῶι αὐτῶι ὅρωι διῃρημένη.*
1003 b. *ἐρείδει] ἐρηρεισμένη πλησιάζει.*
1005 a. *πότμος] εὐδαιμονία.*
1005 b. *εὐθυπορῶν] εὐθυδρομῶν, ἐξ οὐρίων φερόμενος.*
10 **1006 a.** *ἔπαισεν] ἔτυψεν, ἀνέτρεψεν.*
1006 b. *ἄφαντον] ἤγουν ἀφανῶς.*
1007 a. *ἕρμα] τὸ στήριγμα τοῦ πλούτου.*
1007 b. *πρὸ] ἀργή.*
1007 c. *χρημάτων] τῶν.*
15 **1008 a.** *κτησίων] τῶν ἐν κτήσει ὄντων.*
1008 b. *βαλὼν] τρώσας· ὁ γὰρ ὄκνος ἐλάττονα ποιεῖ τὸν βίον.*
1009 a. *εὐμέτρου] εὐστόχου.*
1009 b. *εὐμέτρου] ἔπαισεν.*
1011 a. *ἔδυ] κατέδυ, κατεβλήθη.*
20 **1011 b.** *πρόπας] ὅλος.*
1012. *πημονὰς] βλάβας, συμφοράς.*
1013 a. *ἐπόντισε] ὥσπερ εἰς βυθόν τινα ἔρριψε.*
1013 b. *σκάφος] ἤτοι τὸν οἶκον.*
1014. *ἀμφιλαφής] ἤγουν πλουσία.*
25 **1015.** *ἀλόκων] ἀλώνων, ἤτοι γεωργημάτων χρονίων.*
1016. *νῆστιν] νῆστιν νόσον ἤγουν λιμὸν διεσκέδασεν.*
1017 a. *ἀντιστροφὴ κώλων ιε΄.*
1017 b. *πεσόνθ᾽] τινά.*
1018. *θανάσιμον] τεθανατωμένον.*
30 **1019.** *προπάροιθ᾽] ἔμπροσθεν.*
1020. *αἷμα] λέγω.*
1021 a. *ἀγκαλέσαιτ᾽] ἀνακαλέσαιτο.*
1021 b. *ἐπαείδων] ἐπωιδὰς λέγων.*
1022. *ἤγουν τὸν ὀρθῶς τὰ περὶ τούτων ἐπιστάμενον Ἀσκληπιὸν πε-*
35 *σόντα.*
1023 a. *φθιμένων] ἀπό.*
1023 b. *φθιμένων] τῶν νεκρῶν.*
1023 c. *ἀνάγειν] ἔξεστι δηλονότι.*

1024a. *αὔτ'*] *αὐτά.*
1024b. *ἔπαυσ'*] *τὸν Ἀσκληπιὸν γὰρ ἐκεραύνωσεν ἀναστήσαντα τὸν Ἱππόλυτον.*
1024c. *ἐπ' ἀβλαβείαι*] *ὥστε μὴ ἕτερον βλαβῆναι.*
1025. *τεταγμένα*] *προκεκυρωμένη.* 5
1026. *μοῖραν*] *ἑτέραν ὕστερον ἐπινοηθεῖσαν πρὸς τῶν θεῶν.*
1027. *εἶργε*] *ἐκώλυεν.*
1028. *καρδία*] *ἡ ἡμετέρα.*
1029. *ἐξέχει*] *ἤγουν εἶπεν ἂν ταῦτα.*
1030. *ὑπὸ σκότωι*] *ἤγουν καθ' ἑαυτὴν συνταράσσεται ἀναφλεγομένου τοῦ λογισμοῦ. ἐνταῦθα γὰρ σύναπτε τὸ ζωπυρουμένης φρενός.* 10
1031. *ἐλπομένα*] *ἐλπίζουσα.*
1032. *καίριον*] *τὸ πρέπον, τὸ κεκυρωμένον.*
1033. *ἐκτολυπεύσειν*] *ἐκπληρώσειν τὴν μοῖραν.* 15
1034. *ζωπυρουμένας*] *ἀναφλεγομένης· τοιοῦτο γάρ τι πάσχουσιν οἱ ἐπιθυμοῦντες μαθεῖν τὸ ἀποβησόμενον.*
1035a. + *αἱ συστηματικαὶ αὗται περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων λζ', ὧν τελευταῖος· ἑκοῦσ' ἀνάγκηι τῆιδε καίνισον ζυγόν. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῶι τέλει κορωνίς.* 20
1035b. *κομίζου*] *πορεύου.*
1035c. *Κασάνδραν*] *τήν.*
1036. *ἀμηνίτως*] *ἀοργήτως.*
1039. *ἀπήνης*] *τοῦ ἅρματος.* 25
1040a. *ση(μείωσαι).*
1040b. *παῖδα*] *ἤγουν τὸν Ἡρακλέα.*
1041a. *τλῆναι*] *ὑπομεῖναι.*
1041b. *θίγειν*] *ψαύειν.*
1042a. *ὡρ(αῖον).* 30
1042b. *Καλὸν μέν, φησί, μὴ πειραθῆναι δουλείας· εἰ δὲ πειρῶιτό τις, κάλλιον ἀρχαιοπλούτοις δουλεύειν καὶ μὴ νεοπλούτοις. οἱ γὰρ μὴ ἐλπίσαντες, φησί, πλουτῆσαι καὶ πλουτήσαντες ἀπηνεῖς εἰσι τοῖς δούλοις.*

19—20 u. 1071

2—3 Pind. Pyth. III 57sqq.

1042 c. *τῆσδ᾽*] *τῆς δουλικῆς.*
1044. *ἤμησαν*] *ἐθέρισαν, ἤγουν ἐπλούτησαν.*
1045 a. *ὠμοί*] *ἀπηνεῖς.*
1045 b. *στάθμην*] *παρὰ τὸ πρέπον.*
5 **1047.** *σοί*] *ὦ Κασάνδρα.*
1048. *μορσίμων*] *μεμοιρασμένων.*
1049 a. *πείθοι᾽*] *ἐμοί.*
1049 b. *πείθοι᾽*] *εἰ βούλοιο πεισθῆναι.*
1049 c. *ἀπειθοίης*] *ὡς βάρβαρος.*
10 **1050.** *Ὅτι βάρβαρον τὸ ὄρνεον, διὰ τοῦτο παραβάλλει τούτωι αὐτήν. ἐν Θράικηι γὰρ καὶ ἡ μεταμόρφωσις αὐτῆς ἱστορεῖται. καὶ Ἀριστοφάνης· Θρηικία χελιδὼν ἐπὶ βάρβαρον ἑζομένη πέταλον.*
1051. *ἀγνῶτα*] *ἄγνωστον.*
1052. *νιν*] *αὐτήν.*
15 **1053 a.** *ἔπου*] *τῆι δεσποίνηι.*
1053 b. *λῶιστα*] *τὰ κρείττω.*
1053 c. *παρεστώτων*] *τῶν ἐνισταμένων νῦν πραγμάτων.*
1054 a. *πείθου*] *τοῖς λεγομένοις.*
1054 b. *θρόνον*] *τὸ ἅρμα.*
20 **1055 a.** *θυραίαν*] *ἔξω τῆς θύρας.*
1055 b. *σχολὴ*] *ἄδεια.*
1056. *μεσομφάλου*] *ἤγουν ἐν Πυθίαι.*
1057 a. *ἕστηκεν*] *ἡμῖν.*
1057 b. *ἤδη*] *πάλαι.*
25 **1057 c.** *μῆλα*] *πρόβατα.*
1059 a. *σὺ*] *ὦ Κασάνδρα.*
1059 b. *τῶνδε*] *ὧν λέγω.*
1059 c. *σχολὴν*] *βραδυτῆτα.*
1060 a. *ἀξυνήμων*] *ἤγουν μὴ συνιεῖσα καὶ γινώσκουσα τὰ λεγόμενα.*
30 **1060 b.** *δέχηι*] *ἤγουν νοεῖς.*
1060 c. *λόγον*] *τὸν παρ᾽ ἐμοῦ.*
1061 a. *φράζε*] *δῆλον.*
1061 b. *καρβάνωι*] *βαρβάρωι.*

10 sch. Ar. Av. 1680 Ran. 93 Eust. 1914, 31 || 11 Thuc. II 29 Strab. IX 423 Paus. X 4, 8. 9 || 33 cf. sch. uet. 1061

12 Ar. Ran. 681

1062a. *ἔοικεν*] *φαίνεται.*
1062b. *τοροῦ*] *σαφοῦς.*
1063. *νεαιρέτου*] *νεωστὶ ἀγρευθέντος καὶ ἔτι ἀγριαινομένου.*
1064a. *ἦ*] *ὄντως.*
1064b. *κακῶν*] *ἤγουν κακῶς διαλογίζεται.* 5
1065. *νεαίρετον*] *νεοπόρθητον.*
1066. *Ἀπὸ μεταφορᾶς τῶν σφαδαζόντων ὑποζυγίων ἅτινα οὐκ εἴκοντα τῶι χαλινῶι ἀφρίζει μετὰ αἵματος.*
1067. *αἱματηρὸν*] *οἱ γὰρ πρὸς τὸν χαλινὸν μαχόμενοι ἵπποι αἷμα ἀποπτύουσιν.* 10
1068. *ῥίψασ'*] *ἤγουν ματαίως εἰποῦσα.*
1069. *θυμώσομαι*] *θυμωθήσομαι ὡς σύ.*
1070. *ἐρημώσασ'*] *ἤγουν ἀφεῖσα.*
1072a. *στροφή.*
1072b. *ἡμέτερον* + *ὀ τ ο τ ο τ ο ῖ· αἱ περίοδοι αὗται πᾶσαι καλοῦνται* 15 *ὡς εἴρηται ἀλλοιόστροφοι. εἰσὶ δὲ τῶν μὲν στροφῶν καὶ ἀντιστροφῶν τὰ κῶλα ἀντισπαστικὰ ἐν οἷς καὶ πεντασύλλαβοι πόδες εὑρίσκονται. εἰσὶ δὲ ἐν ταῖς τοιαύταις στροφαῖς καὶ στίχοι ἰαμβικοὶ τρίμετροι, τῶν δὲ συστημάτων πάντες ἰαμβικοὶ τρίμετροι. ἐπὶ ταῖς ἀποθέσεσι τῶν μὲν στροφῶν παράγραφος καὶ διπλαῖ συνήθως, τῶν δὲ ἀντιστροφῶν* 20 *παράγραφος μόνη, ὡσαύτως καὶ ἐπὶ τῶν συστημάτων.*
1072c. *ὀτοτοτοῖ*] *φεῦ.*
1072d. *πομποῖ*] *ἡ πέμψασά με ἐνταῦθα.*
1072e. *δᾶ*] *γῆ.*
1073a. *Ἄπολλον*] *ὦ.* 25
1073b. *Ἄπολλον*] *ὦ.*
1074a. *σύστημα.*
1074b. *ἀνωτότυξας*] *διὰ τοῦ ὀτοτοτοῖ ἐφθέγξω.*
1074c. *ἀμφὶ*] *περί.*
1074d. *Λοξίου*] *τοῦ Ἀπόλλωνος.* 30
1075. *τοιοῦτος*] *ἐστίν.*
1076. *ἀντιστροφή.*
1078–1079. *ἴαμβοι.*
1078a. *σύστημα.*
1078b. *αὖτε*] *πάλιν.* 35

7—8 cf. sch. uet. 1067
16 cf. sch. T Pr. 128

1078 c. *τὸν θεὸν*] *τὸν Ἀπόλλωνα.*
1079 a. *προσήκοντ'*] *ἁρμόζοντα.*
1079 b. *παραστατεῖν*] *παραγίνεσθαι.*
1080 a. *στροφὴ ἑτέρα.*
5 **1080 b.** *Ἄπολλον*] *ὦ.*
1080 c. *Ἄπολλον*] *ὦ.*
1080 d. *Ἄπολλον· ὁ ἀπολλύων με διὰ τὴν ἐπωνυμίαν· ἐκείνην γὰρ ἀπώλειαν πρώτην ἡγοῦμαι τὴν τῆς δουλείας, δευτέραν δὲ τὴν τοῦ θανάτου.*
10 **1081.** *ἀγυιάτ'*] *ἤγουν ὁδὸς ἥτις ἐγένου ἡμετέρα ἀπώλεια.*
1082 a. *ἴαμβος.*
1082 b. *οὐ μόλις*] *ἀλλὰ ταχέως. λέγει δὲ τὸν αὐτῆς ὅσον οὔπω γενησόμενον θάνατον.*
1083—1084. *ἴαμβοι.*
15 **1083 a.** *σύστημα.*
1083 b. *χρήσειν*] *μαντεύσασθαι.*
1083 c. *ἔοικεν*] *φαίνεται.*
1083 d. *ἀμφὶ*] *περί.*
1084 a. *δουλίαι*] *δουλικῆι.*
20 **1084 b.** *δουλίαι*] *διὰ τὸ μέτρον.*
1084 c. *παρὸν*] *ἤγουν καὶ δούληι γενομένηι αὐτῆι σύνεστιν.*
1085. *ἀντιστροφή.*
1087. *ἴαμβος.*
1088—1089. *ἴαμβοι.*
25 **1088 a.** *σύστημα.*
1088 b. *τὴν Ἀτρειδῶν*] *οἰκίαν, στέγην.*
1088 c. *ἐννοεῖς*] *γινώσκεις.*
1089 a. *ἐρεῖς*] *λέξεις.*
1089 b. *ψύδη*] *ἤγουν ψευδῶς εἶπον.*
30 **1090 a.** *στροφὴ ἑτέρα.*
1090 b. *μισόθεον*] *εἰς μισόθεον ἦλθον στέγην.*
1090 c. *συνίστορα*] *γινώσκουσαν πολλὰ κακά.*
1091. *κἀρτάνας*] *ἀγχόνας.*
1092 a. *ἴαμβος.*
35 **1092 b.** *ἀνδρὸς*] *τοῦ Ἀγαμέμνονος.*
1092 c. *ῥαντήριον*] *τῶι αἵματι ῥαντισθησόμενον.*

7—9 cf. sch. uet. 1081. 1082 || **33** cf. sch. uet. 1091 b

1093—1094. *ἴαμβοι.*
1093a. *σύστημα.*
1093b. *Ἔοικεν ὡς κύων εὗρις ζητεῖν εἰ γέγονέ τις ἐνθάδε παλαιὸς φόνος.*
1093c. *ἔοικεν] φαίνεται.* 5
1094. *ματεύει] ἐρευνᾶι.*
1095a. *ἀντιστροφή.*
1095b. *Φαντάζεται οἷον ὁρᾶν τὰ νεκρὰ σώματα τῶν ἀνηιρημένων παίδων Θυέστου καὶ βρωθέντα παρ' αὐτοῦ.*
1095c. *πεπείθομαι] πείθομαι.* 10
1096. *κλαιόμενα] κλαίοντα.*
1097. *ἴαμβος.*
1098—1099. *ἴαμβοι.*
1098a. *σύστημα.*
1098b. *ἦμεν] ἤγουν ἐσμέν.* 15
1098c. *πεπυσμένοι] ἀκούσαντες.*
1099. *μαστεύομεν] ζητοῦμεν νῦν.*
1100a. *στροφὴ ἑτέρα κώλων ε'.*
1100b. *πόποι] φεῦ.*
1100c. *μήδεται] βουλεύεται, ἤγουν μελετᾶται.* 20
1101. *νέον] ἀντὶ μιᾶς.*
1102a. *ἴαμβος.*
1102b. *μήδεται] βουλεύεται, ἤγουν μελετᾶται.*
1103a. *ἄφερτον] ἀφόρητον.*
1103b. *ἀλκὰ] ἡ βοήθεια, ἤγουν ὁ Ὀρέστης.* 25
1104a. *ἑκὰς] μακράν.*
1104b. *ἀποστατεῖ] ἀφίσταται ἤγουν ἀποδημεῖ.*
1105—1106. *ἴαμβοι.*
1105a. *σύστημα.*
1105b. *τούτων] ὧν λέγεις.* 30
1105c. *ἄιδρις] ἀμαθής.*
1106. *ἐκεῖνα] τὰ περὶ Θυέστου.*
1107a. *ἀντιστροφὴ κώλων ε'.*
1107b. *τάλαινα] ἀθλία Κλυταιμνήστρα.*
1107c. *τελεῖς] πληρώσεις.* 35
1108a. *ὁμοδέμνιον] ὁμόκοιτον.*

3—4 cf. sch. uet. 1093 || 8—9 cf. sch. uet. 1095 || 32 cf. sch. uet. 1106

1108b. *πόσιν*] *ἄνδρα.*
1109a. *ἴαμβος.*
1109b. *φαιδρύνασα*] *καλλωπίσασα.*
1110a. *τάχος*] *ταχέως.*
5 **1110b.** *Διαδέχονται ἀλλήλους, φησί, τοῖς ὀρέγμασι τῶν χειρῶν Αἴγισθος καὶ Κλυταιμνήστρα.*
1110c. *προτείνει*] *δίδωσι.*
1111. *ὀρεγμένα*] *διδομένη ἢ λαμβάνουσα.*
1112–1113. *ἴαμβοι.*
10 **1112a.** *σύστημα.*
1112b. *ξυνῆκα*] *ἐνόησα.*
1113a. *Ἐπ᾽ ἀργέμοις· ἤγουν σκοτεινοῖς καὶ ἀσήμοις ἐκ μεταφορᾶς τῶν λευκώματα ἐχόντων ὀφθαλμῶν.*
1113b. *ἀργέμοισι*] *σκοτεινοῖς μαντεύμασιν.*
15 **1114.** *στροφὴ ἑτέρα κώλων ς′.*
1115a. *Φαντάζεται καὶ τὸν χιτῶνα δι᾽ οὗ ἀναιρήσει τὸν ἄνδρα καὶ φησὶν ὡς ἡ ξύνευνός ἐστι τοῦ Ἀγαμέμνονος ἡ αἰτία τοῦ φόνου.*
1115b. *Ἀίδου*] *συνίζησις.*
1116a. *ἴαμβος.*
20 **1116b.** *ἄρκυς*] *δίκτυον ἐστίν· αὐτὴ γὰρ αὐτὸν περιπλέξει.*
1117. *Στάσις, φησίν, ἐπολολύξαι μέλλει ἐπὶ τῶι γένει διὰ τὴν τοῦ Ἀγαμέμνονος σφαγὴν ἢ διὰ τὴν τῆς Κλυταιμνήστρας, ἡνίκα ἀπόλλυται· ἔστι δὲ παρὰ τὸ αἳ δ᾽ ὀλόλυξαν θυγατέρες τε νυοί τε καὶ αἰδοίη παράκοιτις.*
25 **1119–1120.** *ἴαμβοι β′.*
1119a. *σύστημα κώλων ς′.*
1119b. *ἡμέτερον + ποίαν Ἐριννύν· ἐντεῦθεν ἑτέρως ἐσχημάτισε τὰ τῶν συστημάτων κῶλα. τὰ μὲν γάρ ἐστιν ἰαμβικά, τὰ δὲ ἀντισπαστικὰ καὶ στροφῆς καὶ ἀντιστροφῆς λόγον ἔχουσιν, ὅθεν καὶ τὰ σημεῖα*
30 *ὁμοίως ἐτέθη κἀν τούτοις, ἤτοι ἡ παράγραφος καὶ αἱ διπλαῖ.*
1119c. *κέληι*] *κελεύεις.*
1120a. *ἐπορθιάζειν*] *ὀξέως θρηνεῖν, ὀλολύζειν.*
1120b. *φαιδρύνει*] *εὐφραίνει.*
1121a. *κροκοβαφὴς*] *ἀντὶ μιᾶς.*

5–6 cf. sch. uet. 1110 || **12–13** cf. sch. uet. 1113 || **16–17** cf. sch. uet. 1114. 1116 || **21–24** cf. sch. uet. 1117

23–24 Hom. γ 450–451

1121b. *κροκοβαφὴς*] *αἱματηρά.*
1122. *ἅτε*] *καθά.*
1123. *ξυναντεῖ*] *συμπληροῦται.*
1124. *ἄτα*] *ἤγουν ἡ σφαγή.*
1125a. *ἀντιστροφὴ κώλων ς′.* 5
1125b. *ἄπεχε*] *ἀφίστασο.*
1125c. *τῆς βοῆς*] *ἤγουν τῆς Κλυταιμνήστρας ἥτις τὸν ἑαυτῆς ταῦρον ἀπέκτεινεν.*
1126. *τὸν ταῦρον*] *τὸν μελάγκερων.*
1127a. *ἴαμβος.* 10
1127b. *Τὸν μελάγκερων ταῦρον λαβοῦσα ἐν μηχανήματι διὰ τῶν πέπλων τύπτει. ἐὰν δὲ γράψηις μελαγκέρωι μηχανήματι, ἀντὶ τοῦ κεκρυμμένωι ἐστίν.*
1127c. *μηχανήματι*] *τῶι ἀτρήτωι ἱματίωι.*
1128a. *τύπτει*] *ἤγουν σφάττει.* 15
1128b. *πιτνεῖ*] *πίπτει ὁ Ἀγαμέμνων ἐν τῶι λέβητι τῶι ἔχοντι τὰ λουτρά.*
1130—1131. *ἴαμβοι β′.*
1130a. *σύστημα ὅμοιον τῶι ἄνω κώλων ς′.*
1130b. *Οὐκ ἀλαζονεύσομαι, φησί, μάντις ἄκρος εἶναι ἐπιγινώσκων* 20 *τὰ θέσφατα· ὅμως δὲ στοχάζομαί τι κακὸν ἀποβήσεσθαι.*
1130c. *κομπάσαιμ᾽*] *ἀλαζονεύσομαι.*
1130d. *θεσφάτων*] *μαντείων.*
1130e. *γνώμων*] *νοήμων.*
1131a. *κακῶι*] *ἕν.* 25
1131b. *τωι*] *τινί.*
1131c. *προσεικάζω*] *στοχάζομαι.*
1132a. *Ἀπὸ δὲ θεσφάτων· παρὰ τὰ λεγόμενα ἐν συνηθείαι· οὐδεὶς εὐτυχὴς ἐς μάντιν ἀπέρχεται.*
1132b. *Διὰ τὰ προσόντα κακὰ τοῖς εἰς μαντείαν εἰσερχομένοις καὶ τὰ* 30 *λεγόμενα φοβερά ἐστι. γνωμολογῶν δὲ ταῦτα φησίν. ἐνίοτε γὰρ καὶ ἐπ᾽ ἀγαθοῖς οἱ χρησμοὶ γίνονται, ὡς δὲ ἐπὶ τὸ πολὺ μοχθηρὰ χρησμωιδοῦσιν.*
1133a. *στέλεται*] *ἔρχεται.*
1133b. *στέλεται*] *διὰ τὸ μέτρον.* 35

3 cf. sch. uet. 1123b || **11—13** cf. sch. uet. 1127b || **20—21** cf. sch. uet. 1130 || **28—29** cf. sch. uet. 1133b || **30—33** cf. sch. uet. 1132

1134. *θεσπιωδὸν*] *μαντικόν*.
1136a. *στροφὴ ἑτέρα κώλων ε'*.
1136b. *ταλαίνας*] *ἐμοῦ*.
1136c. *κακόποτμοι*] *δυστυχεῖς*.
5 1136d. *τύχαι*] *ὦ*.
1137a. *θροῶ*] *λέγω*.
1137b. *ἐπαγχέασα*] *συναναμίξασα καὶ συγκεράσασα τῶι τοῦ Ἀγαμέμνονος*.
1138–1139. *ἴαμβοι*.
10 1138. *δεῦρο*] *ἐνταῦθα*.
1139a. *οὐ δή ποτ' εἰ μὴ*] *οὐκ ἄρα δι' ἄλλο*.
1139b. *τί γάρ*] *δι' ἄλλο γὰρ τί*.
1140a. *σύστημα ἕτερον κώλων ς'*.
1140b. *αὐτᾶς*] *περὶ σεαυτῆς ἄτοπα φθέγγηι*.
15 1141a. *Νόμον ἄνομον· ὠιδὴν ἀηδῆ ἤτοι κιθαριστικὸν νόμον. τὸ ἑξῆς· θροεῖς νόμον ἄνομον ἀμφιθαλῆ κακοῖς στένουσα βίον*.
1141b. *νόμον ἄνομον*] *μέλος ἄμουσον*.
1141c. *οἷα*] *ὥσπερ*.
1141d. *ξουθὰ*] *ξανθή*.
20 1142. *ἀκόρεστος*] *ἤγουν ἄτροφος*.
1146a. *ἀντιστροφὴ κώλων ε'*.
1146b. *Τοῦτο ὡς ἡδομένη τῆι τῆς ἀηδόνος μεταμορφώσει φησίν. εἰ γὰρ καὶ ἐν ὄρνισιν ἐστίν, θρηνεῖ μόνηι φωνῆι καὶ οὐ μετὰ κλαυμάτων*.
1147a. *περιβαλόντες*] *εἰσὶ δηλονότι*.
25 1147b. *οἱ*] *αὐτῆι*.
1148. *ἴαμβοι*.
1149a. *μίμνει σχισμὸς*] *ἀναμένει φόνος*.
1149b. *δορί*] *ξίφει*.
1150a. *σύστημα ὅμοιον τῶι ἄνω κώλων ς'*.
30 1150b. *ἐπισσύτους*] *ἐκ θεῶν ἐπερχομένας*.
1151. *δύας*] *συμφοράς*.
1152a. *Δυσφάτωι· ἀσαφεῖ καὶ αἰνιγματώδει. ταῦτα δέ φησι πρὸς αὐτὴν διὰ τὸ δυστυχῆ μαντεύεσθαι ἢ διὰ τὸ προειδέναι ἀνωφελῶς τὰ δεινά*.

7–8 cf. sch. uet. 1137 || 14 cf. sch. uet. 1140 || 15–16 cf. sch. uet. 1142a b || 22–23 cf. sch. uet. 1145. 1148 || 32–34 cf. sch. uet. 1151. 1153

23 *ὄρνισιν* Dd. *ὄρεσιν* T

1152b. *δυσφάτωι*] *ἀσαφεῖ.*
1152c. *κλαγγᾶι*] *βοῆι.*
1154. *θεσπεσίας*] *τῆς μαντικῆς.*
1156a. *στροφὴ ἑτέρα κώλων ς΄.*
1156b. *ὀλέθριοι*] *οἱ τοὺς φίλους ὀλέσαντες.* 5
1159a. *ἠνυτόμαν*] *ἐτελειούμην, ηὔξανον.*
1159b. *τροφαῖς*] *ἐν.*
1160a. *ἴαμβοι.*
1160b. *Κωκυτόν*] *ἤγουν ἐν Ἅιδου.*
1161a. *θεσπιωδήσειν*] *μαντεύσασθαι.* 10
1161b. *τάχα*] *ἴσως ἢ ταχέως.*
1162a. *σύστημα ἕτερον κώλων ε΄.*
1162b. *τορὸν*] *ἀληθές.*
1162c. *ἔπος*] *ἀντὶ μιᾶς.*
1162d. *νεογνὸς*] *ἀντὶ μιᾶς.* 15
1163a. *πέπληγμαι*] *τέτρωμαι.*
1163b. *ὑπαὶ*] *ὑπό.*
1164a. *δυσαγγεῖ*] *ἤγουν βαρείαι.*
1164b. *μίνυρα*] *θρηνητικά.*
1164c. *θρεομένας*] *ἀντὶ μιᾶς.* 20
1164d. *θρεομένας*] *λεγούσης αὐτῆς.*
1166. *κλύειν*] *ἀκούειν.*
1167a. *ἀντιστροφὴ κώλων ς΄.*
1167b. *πόλεος*] *τῆς Τροίας.*
1167c. *ὀλουμένας*] *φθαρείσης.* 25
1167d. *τὸ πᾶν*] *παντελῶς.*
1168. *πρόπυργοι*] *αἱ πρὸ τῆς πόλεως γινόμεναι.*
1169a. *πολυκανεῖς*] *αἱ πολλὰ τέμνουσαι ζῶα.*
1169b. *ποιονόμων*] *τῶν ἐν πόαις νεμομένων.*
1169c. *ἄκος*] *θεραπεία.* 30
1170. *ἐπήρκεσαν*] *ἐπεγένετο εἰς βοήθειαν.*
1171–1172. *ἴαμβοι.*
1173a. *σύστημα ὅμοιον τῶι ἄνω κώλων ε΄.*
1173b. *ἑπόμενα*] *ἀκόλουθα.*
1173c. *ἐφημίσω*] *ἔλεξας.* 35
1175. *ἐμπιτνῶν*] *ὑπερεμπίπτων.*

3 cf. sch. uet. 1154

1176. *μελίζειν*] ἐμμελῶς λέγειν.

1178. *ἡμέτερον* + καὶ μὴν ὁ χρησμός· αἱ συστηματικαὶ αὗται περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ρμθʹ ὧν τελευταῖος· καὶ ταῦτ᾽ ἐκείνων μᾶλλον οἰκτείρω πολύ. μετὰ δὲ τὸν λγʹ κῶλον
5 ἰαμβικὸν δίμετρον ἀκατάληκτον, μετὰ δὲ τὸν ρκζʹ κῶλον ὅμοιον μονόμετρον βραχυκατάληκτον, μετὰ δὲ τὸν ρλδʹ κῶλον ὅμοιον μονόμετρον ἀκατάληκτον. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῶι τέλει κορωνίς.

1179. *δεδορκὼς*] φαινόμενος.

10 **1184a.** *μαρτυρεῖτε*] ἐμοί.

1184b. *ἴχνος*] ἤτοι τὴν ἀρχήν.

1185a. *ῥινηλατούσηι*] ἐρευνούσηι.

1185b. *πεπραγμένων*] τῶν τοῦ Θυέστου λέγει.

1187. *ξύμφθογγος*] ὁμόφωνος.

15 **1190.** *δύσπεμπτος*] οὐ γὰρ ἐξέρχεται τῶν οἴκων.

1191. *προσήμεναι*] προσκαθήμεναι.

1193a. *τῶι πατοῦντι*] τῶι παραβαίνοντι τοὺς νόμους.

1193b. *δυσμενεῖς*] ἐχθράς.

1194a. *ἥμαρτον*] ἀπέτυχον.

20 **1194b.** *τηρῶ*] ἐπιτηρῶ.

1194c. *ὡς*] ὥσπερ.

1196a. *προυμόσας*] βεβαιώσας.

1196b. *τὸ*] τὸ ἐμέ.

1198. *πῆμα*] εἰς ἁμαρτίαν γεγονυῖαν καὶ παγεῖσαν.

25 **1199.** *παιώνιον*] θεραπευτικὸν πρᾶγμα.

1200a. *ἀλλόθρουν*] ὥστε ἀλλόγλωσσον.

1200b. *πόλιν*] εἰς.

1201. *παρεστάτεις*] ἐνταῦθα ἦσθα.

1202. *τῶιδ᾽*] τῶι γινώσκειν τὰ τοιαῦτα.

30 **1203a.** *πρὸ*] πρότερον.

1203b. *λέγειν*] ἤτοι πόθεν ἔχεις τοῦτο.

1204a. *ἱμέρωι*] ἔρωτι.

1204b. *πεπληγμένος*] ἐστίν.

1205. *ὡρ(αῖον)*.

35 **1206a.** *παλαιστὴς*] ἤγουν ἐμάχετο συνευνηθῆναί μοι.

1206b. *κάρτ᾽*] λίαν.

3—4 u. 1330 ‖ 4 λγʹ] debuit λςʹ ‖ 24 παγεῖσαν **Ta** παγῆσαν **T**

1206c. *χάριν*] *μεγίστας μοι διδοὺς χάριτας.*
1207. *τέκνων*] *ἤγουν συνήλθετε γαμικῶς;*
1208. *ξυναινέσασα*] *συγκατατεθεῖσα.*
1209. *ἡιρημένη*] *κεκρατημένη.*
1211. *πῶς*] *ἤγουν πῶς ὀργῆς ἐπειράθης τοῦ Ἀπόλλωνος;* 5
1212a. *ὡς τάδ'*] *τὸ ὑπακοῦσαι ἐκείνωι.*
1212b. *ἤμπλακον*] *ἥμαρτον.*
1223a. *ποινὰς*] *τιμωρίας.*
1223b. *τινὰ*] *τὸν Αἴγισθον.*
1224. *ἄναλκιν*] *ἄνανδρον.* 10
1225. *τῶι μολόντι*] *τοῦτο πρὸς τὸ βουλεύειν σύναπτε.*
1226a. *ὡρ(αῖον).*
1226b. *φέρειν*] *τοῦτο λέγει διὰ τὸ εἰπεῖν τῶι ἐμῶι δεσπότηι.*
1227a. *ἄπαρχος*] *ἄρχων.*
1227b. *ἀναστάτης*] *πορθητής.* 15
1228. *μισητῆς*] *τῆς Κλυταιμνήστρας.*
1230. *λαθραίου*] *κεκρυμμένης.*
1232a. *νιν*] *αὐτήν.*
1232b. *δυσφιλὲς*] *ἤγουν μισητόν.*
1232c. *δάκος*] *θηρίον.* 20
1233. *ση(μείωσαι).*
1235a. *θύουσαν*] *ὁρμῶσαν.*
1235b. *ἀρὰν*] *βλάβην.*
1236a. *ὡς*] *λίαν.*
1236b. *ἐπωλολύξατο*] *ἀνεσκύρτησεν, ἠλάλαξεν.* 25
1238. *νοστίμωι*] *ἤγουν ὅτι ὑπέστρεψε σεσωσμένος ὁ Ἀγαμέμνων.*
1241a. *ἀληθόμαντιν*] *ἀληθῆ μαντευομένην.*
1241b. *ἐρεῖς*] *λέξεις.*
1242. *δαῖτα*] *εὐωχίαν.*
1243a. *ξυνῆκα*] *ἐνόησα.* 30
